



# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.



# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΣΤΕΦΑΝΩΜΑΤΟΣ.

# ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

ΗΤΟΙ

# ΕΙΣ ΚΕΚΟΙΜΗΜΕΝΟΥΣ



0013037287
Πανεπιστήμιο Μακεδονίας







# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΣΤΕΦΑΝΩΜΑΤΟΣ.

# ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

ΗΤΟΙ

# ΕΙΣ ΚΕΚΟΙΜΗΜΕΝΟΥΣ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ
ΜΑΚΕΔΟΝΙΑΣ
ΒΙΒΛΙΟΘΗΚΗ



Εἰς πατρικὴν εὐλογίαν

† ὁ Κωνσταντινουπόλεως Δημήτριος





Ἡ Α.Θ.Π. ὁ Οἰκουμενικός Πατριάρχης κ.κ. ΒΑΡΘΟΛΟΜΑΙΟΣ
(22 Ὀκτωβρίου 1991).

Εἰς πατρικὴν εὐλογίαν
ὁ Κωνσταντινουπόλεως Βαρθολομαῖος.

ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ



Ὁ Σεβασμιώτατος Μητροπολίτης ΠΕΡΓΗΣ κ.κ. ΕΥΑΓΓΕΛΟΣ
Πρόεδρος Πατριαρχικῆς καί Συνοδικῆς Ἐπιτροπῆς ἐπί
τοῦ Τυπικοῦ καί τῆς Μουσικῆς.

... Μεταξύ ἄλλων γράφει : Σαράντα καί πλέον χρόνια τυλιγμένος στό τιμημένο Ἱεροψαλτικό ράσο κανοναρχεῖ, ψάλλει, προσεύχεται. Πρῶτα στήν Κων/πολη κι' ἔπειτα στή Θεσσαλονίκη.

Ἀκροᾶται κολοσσούς διδασκάλους, τούς ἀκολουθεῖ, τούς μελετᾶ προσπαθεῖ νά τούς ἀποθανατίση μέ τή θύμηση, μέ τή γραφή, μέ τήν ἐκτέλεση. Στό τέλος κεντρίζεται ἀπό τήν ἱερή ὑποχρέωση ν'ἀποκαλύψη τόν ἱερό ἐνθουσιασμό του, τήν πιστότητά του καί τή λατρεία του θά λέγαμε ἀπέναντι στή θειατέχνη. Καί γράφει. Γράφει μέ σπάνιο ζῆλο καί " ὅση αὐτῷ δύναμις " αὐτό πού ἐδιδάχθηκε, αὐτό πού ἤκουσε, αὐτό πού θεωρεῖ ἀκριβέστερο.

Γράφει τή ΣΗΜΕΡΙΝΗ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΠΡΑΓΜΑΤΙΚΟΤΗΤΑ

Μέσα σ'αὐτά τά πλαίσια καί μέ τήν ἰδιάζουσά του εὐσέβεια ἐπιμέλεια καί ταπεινότητα κινήθηκε ὁ μουσικολογιώτατος καί Ἄρχων πρωτοψάλτης Λυκοῦργος Πετρίδης, παρουσιάζοντας πρῶτα τήν Μ.Εβδομάδα , Τόν Μ.Εσπερινόν , τόν Ὄρθρον Α΄ καί Β΄ μέρος , τήν Θείαν Λειτουγίαν του , τόν Μουσικόν Παράδεισον , καί τώρα τό βιβλίον " Ἱεραί τελεταί " ἅπαντα πολυγραφημένα.

Θερμότατα συγχαρητήρια στόν Ἄρχοντα Πρωτοψάλτην καί μουσικολογιώτατον κ.Λυκοῦργον Πετρίδην γιά τό θαυμάσιο αὐτό μουσικό ἔργο του, τόν ζῆλο καί τήν προσήλωσή του στό ἰδεῶδες πού τόν καθιστοῦν ἄξιο τῆς κλίσεώς του.

Φανάρι 15 Ἰανουαρίου 1985

ὁ Πέργης Εὐάγγελος

Ἀριθμ. Πρωτ. 418.

Ἡ Μετριότης ἡμῶν διά τοῦ παρόντος Πατριαρχικοῦ Εὐεργετηρίου Γράμματος δῆλον ποιεῖται καί βεβαιοῖ, ὅτι τιμῆσαι βουλομένη, κατ' ἰδίαν Πατριαρχικήν φιλοτιμίαν καί προαίρεσιν, τόν Μουσικολογιώτατον κύριον Λυκοῦργον Πετρίδην, Πρωτοψάλτην ἐν τῇ Ἱερᾷ Μητροπόλει Νέας Κρήνης καί Καλαμαριᾶς, ἄνδρα κόσμιον τοῖς ἤθεσι καί ἱεροπρεπῆ, εὐσυνειδήτως δέ καί ἐν ἀφοσιώσει πρός τήν Ἐκκλησίαν ἐκπληροῦντα τά καθήκοντα αὐτοῦ, ἔγνω ἀπονεῖμαι αὐτῷ τό ὀφφίκιον τοῦ Ἄρχοντος Πρωτοψάλτου τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως, τῆς εἰς τό ὀφφίκιον τοῦτο χειροθεσίας γενομένης, ἐξ ὀνόματος ἡμῶν, ὑπό τοῦ Ἱερωτάτου Μητροπολίτου Νέας Κρήνης καί Καλαμαριᾶς κυρίου Προκοπίου.

Ἐφ' ᾧ καί γράφοντες ἀποφαινόμεθα ἵνα ὁ εἰρημένος Μουσικολογιώτατος κύριος Λυκοῦργος Πετρίδης ὑπάρχῃ ἀπό τοῦ νῦν καί λέγηται καί παρά πάντων γινώσκηται Ἄρχων Πρωτοψάλτης τῆς Ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως, πάσης τῷ ὀφφικίῳ τούτῳ τιμῆς πάντοτε καί παρά πάντων ἀπολαύων καί ἀξιούμενος.

Ὅθεν, εἰς ἔνδειξιν, βεβαίωσιν καί διαρκῆ μαρτυρίαν, ἀπελύθη μετ' εὐχῶν καί εὐλογιῶν ἐγκαρδίων τό παρόν ἡμέτερον Πατριαρχικόν Εὐεργετήριον Γράμμα τῷ ἐξονομασθέντι κυρίῳ Λυκούργῳ Πετρίδῃ, Ἄρχοντι Πρωτοψάλτῃ τῆς Ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως.

Ἐν ἔτει σωτηρίῳ αϡπδ', κατά μῆνα Ἰούλιον ( β')

Ἐπινεμήσεως Ζ'.

ἀποφαίνεται



† Ὁ Μητροπολίτης Ν. Κρήνης καί Καλαμαριᾶς ΠΡΟΚΟΠΙΟΣ

Ἀγαπητέ μοι Κε Πετρίδη

Εὐχαριστῶ θερμῶς διά τήν πρόφρονα καί μετ'ἀφιερώσεως ἀποστολήν τοῦ μουσικοῦ πονήματος τῆς ὑμετέρας λίαν μοι ἀγαπητῆς μουσικολογιότητος.

Συγχαίρω διά τήν φιλόπονον προσφοράν σας εἰς τήν ἁγιωτάτην Ἐκκλησίαν ἡμῶν καί εὔχομαι ἐκ βαθέων,ὅπως Κύριος ὁ Θεός ἡμῶν καταξιοῖ ὑμᾶς ἵνα " Ψάλλητε τῷ Θεῷ ἡμῶν ἕως ὑπάρχετε "

Μετ'ἀγάπης καί εὐχῶν

*Αθάνατο μνημείο για μας*
*και τις επερχόμενες γενιές*

## Κ. ΠΡΙΓΓΟΣ



Ο αείμνηστος
Άρχων Μέγας Πρωτοψάλτης
της Μ.Χ.Ε.

## Θ. ΣΤΑΝΙΤΣΑΣ



Ο από Αρχόντων Λαμπαδαρίων
Μέγας Πρωτοψάλτης
της Μ.Χ.Ε.

*«Υπάρχει μεγάλη διαφορά μεταξύ των βιβλίων που κάνουν*
*οι άνθρωποι και του βιβλίου που κάνει ανθρώπους»*

*« Για να αποδώσει*
***ο ψάλτης***
*πρέπει να νιώθει ελεύθερος ».*

**Λ. Πετρίδης**



# ΛΥΚΟΥΡΓΟΣ ΠΕΤΡΙΔΗΣ

**Άρχων Πρωτοψάλτης της Αρχιεπισκοπής Κωνσταντινουπόλεως**
**και**
**Πρωτοψάλτης του Καθεδρικού Μητροπολιτικού Ι. Ναού Μεταμορφώσεως του Σωτήρος Καλαμαριάς**

**Γεννηθείς εις Κωνσταντινούπολιν (Ταταύλα) το 1923.**

**Θεσσαλονίκη, 1998**

Καθε γνήσιο αντίτυπο φέρει
την ιδιόχειρη υπογραφή του συγγραφέως.



• Κεντρική διάθεση:
Λυκούργος Πετρίδης
25ης Μαρτίου 68
Τ.Κ. 542 48
Τηλ.:(031) 311.624

Απαγορεύεται η αναδημοσίευση και γενικά η αναπαραγωγή εν όλω ή εν μέρει ή και περιληπτικά, κατά παράφραση ή διασκευή του παρόντος έργου με οποιοδήποτε μέσο ή τρόπο μηχανικό, ηλεκτρονικό, φωτοτυπικό και ηχογραφήσεως ή άλλως πως, σύμφωνα με τους Ν. 2387/1920, 4301/1929, τα Ν.Δ.3565/1956, 4254/1962, 4264/1975, Ν.100/1975 και λοιπούς εν γένει κανόνες του Διεθνούς Δικαίου, χωρίς προηγούμενη γραπτή αδεια του εκδότη.

# ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

## ΙΕΡΑΙ ΤΕΛΕΤΑΙ

1-ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ
2-ΣΤΕΦΑΝΩΜΑΤΟΣ
3-ΝΕΚΡΩΣΙΜΟΣ

Ι. Ακολουθίαι ψαλλόμεναι συμφώνως πρός τήν έκκλησιαστικήν πραγματικότητα μετά λεπτομερεστάτης τυπικῆς διατάξεως καί ὅπως αὗται βιώνονται καί λειτουργοῦνται έντός τῶν κόλπων τῆς Ορθοδόξου έκκλησίας μας.

Σημ·
Διά τήν γραφήν τῶν μή μελοποιημένων έκφωνήσεων- εὐχῶν- 'Αναγνωσμάτων κτλ. έχρησιμοποιήθησαν βοηθήματα ἀπό τά βιβλία τῆς Αποστολικῆς Διακονίας τῆς Εκκλησίας τῆς Ελλάδος.


Υπό
ΛΥΚΟΥΡΓΟΥ ΠΕΤΡΙΔΗ
Ἄρχοντος Πρωτοψάλτου
Κων/πόλεως
καί Πρωτοψάλτου τῆς
Ι.Μητροπόλεως Ν.Κρήνης
καί Καλαμαριᾶς



**ΘΕΣΣΑΛΟΝΙΚΗ**
Ιανουάριος 1997
**ΜΑΚΕΔΟΝΙΑ**




# ΤΑ 7 ΜΥΣΤΗΡΙΑ




ΤΑ ΕΠΤΑ ΜΥΣΤΗΡΙΑ

Ἐξεικόνισις τῆς ἱερᾶς τελετῆς ἑκάστου τῶν ἁγίων ἑπτὰ Μυστηρίων τῆς Ὀρθοδόξου Ἐκκλησίας δι' ἧς μεταδίδεται ἀοράτως ἡ Χάρις τοῦ Παναγίου Πνεύματος.

ΑΚΟΛΟΥΘΙΑ

ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ



*Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ Προδρόμου τὸ βά-πτισμα λαβόντα...*

**«Εἰς Οἶκον Κυρίου Πορευσόμεθα...».**

Σημ: Τά Μελωδήματα τοῦ βιβλίου τούτου, διά νά ἀποδοθοῦν στήν ἐντέλεια, θά πρέπει νά ψαλλοῦν μέ πλήρη πιστότητα" χωρίς δηλαδή προσθήκη ξένων μουσικῶν θέσεων, ἤ ἀφαίρεση τμημάτων αὐτῶν.

Λ. Π.

† Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΑΘΗΝΩΝ
ΚΑΙ ΠΑΣΗΣ ΕΛΛΑΔΟΣ
ΣΕΡΑΦΕΙΜ

Ἐν Ἀθήναις τῇ 14ῃ Μαρτίου 1985

Μουσικολογιώτατον Ἄρχοντα Πρωτοψάλτην
τῆς Ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως
Κύριον Λυκοῦργον Πετρίδην, Πρωτοψάλτην τῆς Ἱερᾶς
Μητροπόλεως Ν.Κρήνης καί Καλαμαριᾶς
<u>ΘΕΣΣΑΛΟΝΙΚΗΝ</u>

Μουσικολογιώτατε,

Ἐν εὐχαριστίᾳ ἐδεξάμεθα τό μουσικόν πόνημα τῆς ὑμετέρας Μουσικολογιότητος, ἀντίτυπον τοῦ ὁποίου εὐγενῶς ἀπεστείλατε ἡμῖν, ἐν ᾧ ἐν μουσικῇ βυζαντινῇ περιλαμβάνονται αἱ Ἱεραί Ἀκολουθίαι εἰς κεκοιμημένους, τοῦ στεφανώματος, τοῦ Ἁγίου Βαπτίσματος καί ἐγκαινίων Ἱεροῦ Ναοῦ.

Συγχαίροντες ὑμῖν εὐχόμεθα πλουσίαν τήν εὐλογίαν Κυρίου ἐπί λιπαρᾷ συνεχίσει τῆς διακεκριμένης μουσικολογικῆς διακονίας ὑμῶν.

Μετά διαπύρων ἐν Κυρίῳ εὐχῶν
Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ



# Ο ΠΑΝΑΓΙΩΤΑΤΟΣ

Μητροπολίτης Θεσσαλονίκης

κ.κ. ΠΑΝΤΕΛΕΗΜΩΝ

Μουσικολογιώτατε,

Συγκινηθείς ευχαριστώ και συγχαίρω Υμάς τόσον διά το θαυμάσιον μουσικόν έργον Υμών, όσον και διά την αφιέρωσιν τούτου εις την ελαχιστότητά μου.

† Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΠΑΝΤΕΛΕΗΜΩΝ

Διάπυρος προς Θεόν ευχέτης
Θεσσαλονίκης Παντελεήμων

23/11/85



# Π Ρ Ο Λ Ο Γ Ο Σ

*«Τοὺς ἐπὶ τὸ ψάλλειν ἀναβαίνοντας δεῖ ἀπὸ διφθέρας ψάλλειν».*

*(Κανὼν τῆς ἐν Λαοδικείᾳ Συνόδου)*

Στήν προσπάθεια μου, ἀφ' ἑνός ὅπως ἐξυπηρετήσω πληρέστερα τάς ψαλτικάς ἀπαιτήσεις τοῦ Ι. Κλήρου καί τῶν Ιεροψαλτῶν, καί ἀφ' ἑτέρου ἡ ἔλλειψις ἑνός παρομοίου, πρωτοτύπου καί συγχρόνου βιβλίου περιέχοντος τά ἀφορῶντα περί τῶν " Ιερῶν τελετῶν " ἤτοι τοῦ Βαπτίσματος, τοῦ Γάμου τῆς Νεκρωσίμου ἀκολουθίας, ὡς καί τῆς τῶν 'Εγκαινίων Ναοῦ μέ ὤθησαν ὅπως προβῶ εἰς τήν φωτοτυπικήν ἔκδοσιν τοῦ παρόντος βιβλίου μου ὑπό τόν τίτλον "ΙΕΡΑΙ ΤΕΛΕΤΑΙ" τό ὁποῖον θά ἀποτελέσει πολύτιμον βοήθημα τόσον στόν Ι.Κλῆρο ὅσον καί στούς Ιεροψάλτας.

'Αναμφιβόλως ἀνταποκρίνεται συμφώνως πρός τήν σημερινήν ἐκκλησιαστικήν πραγματικότητα, μετά λεπτομερεστάτης τυπικῆς διατάξεως , καί ὅπως αὗται βιώνονται καί λειτουργοῦνται ἐντός τῶν κόλπων τῆς Ορθοδόξου Εκκλησίας μας.

'Επί πλέον δίδεται ἡ εὐκαιρία εἰς τούς πλέον μουσικά ἀδύνατους, ὡς καί εἰς τούς ἀρχαρίους Κληρικούς καί Ιεροψάλτας νά μάθουν τόσο τήν Τυπική διάταξη, ὅσο καί νά μποροῦν νά ψάλλουν κυρίως "ὀρθά" , καθ' ὅτι εἶναι γραμμένα βάσει τοῦ κύκλου τῶν μελωδικῶν γραμμῶν τῆς Βυζαντινῆς Εκκλησιαστικῆς μουσικῆς.

Πιθανόν νά προσκρούσω εἰς μουσικάς νοοτροπίας εἰς δεδομένας ἀρχάς κλπ , ἡ μεγάλη ἀνταπόκριση ὅμως καθώς καί ἡ ἀντανάκλαση τῆς ἱκανοποιήσεως τῶν συναδέλφων γιά τά βιβλία μου , μοῦ δίδει θάρρος, μοῦ προκαλεῖ ἐνθουσιασμό καί ἔνθεο ζῆλο νά συνεχίσω τό ἔργο μου. Καί προτιμῶ τήν ὀρθή μουσική μόρφωση τῶν πολλῶν , ἀπό τόν ἐντυπωσιασμό τῶν λίγων.

**ΘΕΣΣΑΛΟΝΙΚΗ**

Ιανουάριος 1988

Λυκοῦργος Β. Πετρίδης
"Αρχων Πρωτοψάλτης
καί
Πρωτοψάλτης τῆς Μητροπόλεως
Ν.Κρήνης - Καλαμαριᾶς

# ΑΚΟΛΟΥΘΙΑ
# ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ



**«Εἰς Οἶκον Κυρίου Πορευσόμεθα...».**



Προηγεῖται ἡ τάξις ἡ γινομένη πρό τοῦ Ἁγίου Βαπτίσματος. Εὐχαί, Ἀφορκισμοί, κ.λ. παρά τοῦ ἱερέως καί ἄρχεται ἡ ἀκολουθία τοῦ Ἁγίου Βαπτίσματος.

ΔΟΞΑ ΣΟΙ Ο ΘΕΟΣ ΗΜΩΝ ΔΟΞΑ ΣΟΙ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ

Εἰσέρχεται ὁ Ἱερεύς, καὶ ἀλλάσσει λευκὴν ἱερατικὴν στολήν, ἤτοι ἐπιτραχήλιον καὶ φελώνιον· καὶ ἁπτομένων πάντων τῶν κηρῶν, λαβὼν θυμιατόν, ἀπέρχεται ἐν τῇ Κολυμβήθρᾳ καὶ θυμιᾷ κύκλῳ καὶ ἀποδοὺς τὸ θυμιατόν, προσκυνεῖ. ❋

Εἶτα λέγει ὁ Διάκονος·

**Εὐλόγησον, Δέσποτα.**

Ὁ Ἱερεύς, ἐκφώνως·

**Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Ἀμήν.

Ὁ Διάκονος ἢ αὐτὸς ὁ Ἱερεύς

**Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ Χορός, μεθ᾽ ἑκάστην δέησιν· **Κύριε, ἐλέησον.** **Σελίς:** 46 - 54

---

❋ Σημ: Μόλις ὁ ἱερεύς θυμιᾷ κύκλῳ τῆς κολυμβήθρας, ὁ χορός εἴθισται νά ψάλλει τό Ἐξαποστειλάριον: Τοῖς μαθηταῖς συνέλθωμεν... Σελίς: 3

- Καί κατά τήν Πασχαλινήν περίοδον : Χριστός ἀνέστη.. ★
- Ἤ, τό Ἀπολυτίκιον τῆς τυχούσης ἑορτῆς.

★ ἤ, ὁ Ἄγγελος ἐβόα... Φωτίζου, φωτίζου.. Σελίς: 39



## Ἐξαποστειλάριον Α΄ Τοῖς Μαθηταῖς συνέλθωμεν...

### Ἦχος Β΄








Ὁ Διάκονος·

Κύριε ἐλέησον
Σελίς: 46 - 54

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνωσεως καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι τὸ ὕδωρ τοῦτο ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἄξιον (ἢ ἀξίαν) γενέσθαι τῆς ἀφθάρτου βασι-

**λείας τὸν (ἢ τὴν) ἐν αὐτῷ βαπτιζόμενον (ἢ βαπτιζομένην), τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ νῦν προσερχομένου (ἢ τῆς νῦν προσερχομένης) τῷ ἁγίῳ Φωτίσματι καὶ τῆς σωτηρίας αὐτοῦ (ἢ αὐτῆς), τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸν υἱὸν (ἢ αὐτὴν θυγατέρα) φωτὸς καὶ κληρονόμον τῶν αἰωνίων ἀγαθῶν, τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν (ἢ αὐτὴν) σύμφυτον καὶ κοινωνὸν τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτῷ (ἢ αὐτῇ) τὴν στολὴν τοῦ Βαπτίσματος, καὶ τὸν ἀρραβῶνα τοῦ Πνεύματος, ἄσπιλον καὶ ἀμώμητον ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ (ἢ αὐτῇ) τὸ ὕδωρ τοῦτο λουτρὸν παλιγγενεσίας, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ ἔνδυμα ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τοῦ ρυσθῆναι αὐτὸν (ἢ αὐτὴν) τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.**

**Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.**

**Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας** μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός:
Σοί Κύριε -47-

Καὶ τοῦ Διακόνου λέγοντος ταῦτα, ὁ Ἱερεὺς λέγει καθ' ἑαυτὸν τὴν Εὐχὴν ταύτην μυστικῶς.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ ἐτάζων καρδίας καὶ νεφρούς, καὶ τὰ κρύφια τῶν ἀνθρώπων ἐπιστάμενος μόνος· οὐ γάρ ἐστι πρᾶγμα ἀφανὲς ἐνώπιόν σου, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου· ὁ γινώσκων τὰ κατ' ἐμέ, μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ' ἐμοῦ, ἀλλὰ πάριδέ μου τὰ παραπτώματα ἐν τῇ ὥρᾳ ταύτῃ, ὁ παρορῶν ἀνθρώπων ἁμαρτήματα εἰς με-[redacted], καὶ ἀπόπλυνόν μου τὸν ρύπον τοῦ σώματος, καὶ τὸν σπίλον τῆς ψυχῆς, καὶ ὅλον με ἁγίασον ὁλοτελῆ τῇ δυνάμει σου τῇ ἀοράτῳ καὶ πνευματικῇ δεξιᾷ· ἵνα μή, ἐλευθερίαν ἄλλοις ἐπαγγελλόμενος καὶ ταύτην παρέχων πίστει τῇ ἠρτημένῃ τῆς σῆς ἀφάτου φιλανθρωπίας, αὐτὸς ὡς δοῦλος ἁμαρτίας ἀδόκιμος γένωμαι. Μή, Δέσποτα, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, μὴ ἀποστραφείην τεταπεινωμένος καὶ κατῃσχυμένος· ἀλλ' ἐξαπόστειλόν μοι δύναμιν ἐξ ὕψους, καὶ ἐνίσχυσόν με πρὸς τὴν διακονίαν τοῦ προκειμένου σου Μυστηρίου, τοῦ μεγάλου καὶ ἐπουρανίου. Καὶ μόρφωσόν σου τὸν Χριστὸν ἐν τῷ μέλλοντι (ἢ ἐν τῇ μελλούσῃ) ἀναγεννᾶσθαι διὰ τῆς ἐμῆς ἐλεεινότητος· καὶ οἰκοδόμησον αὐτὸν (ἢ αὐτὴν) ἐν τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν σου· καὶ μὴ καθέλῃς, ἀλλὰ φύτευσον αὐτὸν (ἢ αὐτὴν) φύτευμα ἀληθείας ἐν τῇ ἁγίᾳ σου Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλη-

σίᾳ, καὶ μὴ ἐκτίλῃς. Ὅπως προκόπτοντος αὐτοῦ (ἢ προκοπτούσης αὐτῆς) ἐν εὐσεβείᾳ, δοξάζηται καὶ δι' αὐτοῦ (ἢ δι' αὐτῆς) τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.




Δεῖ δὲ εἰδέναι, ὅτι καθ' ἑαυτὸν λέγει καὶ τὴν Ἐκφώνησιν καὶ τό, Ἀμήν.



Μετὰ δὲ τὸ συμπληρωθῆναι τὰ Εἰρηνικά, ἄνευ Ἐκφωνήσεως, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην μεγαλοφώνως καὶ μετὰ φόβου Θεοῦ καὶ ἐξ ὅλης ψυχῆς καὶ συντετριμμένης καρδίας.

**Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου** (-Τρίς)

Ὁ Χορός:




Τό Τρίτον :







* * * * * * * * * * *

Ὁ ἱερεύς :

Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον. Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι Δυνάμεις· σὲ ὑμνεῖ ἥλιος· σὲ δοξάζει σελήνη· σοὶ ἐντυγχάνει τὰ ἄστρα· σοὶ ὑπακούει τὸ φῶς· σὲ φρίττουσιν ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί. Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέρριν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας. Ἀγγελικαὶ Δυνάμεις σοὶ λειτουργοῦσιν, οἱ τῶν Ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, κύκλῳ ἑστῶτα, καὶ περιιπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης κατακαλύπτεται. Σὺ γάρ, Θεὸς

ὢν ἀπερίγραπτος ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γὰρ ἔφερες, Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, θεᾶσθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων, ἀλλ' ἦλθες καὶ ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν. Τὰς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας, παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σου, πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σὺ γάρ, ὁ Θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς ὤφθης καὶ τοῖς ἀνθρώποις συνανεστράφης· Σὺ καὶ τὰ Ἰορδάνεια ρεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας αὐτοῖς τὸ Πανάγιόν σου Πνεῦμα, καὶ τὰς κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων. Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο (τρίς).

**Ὁ χορός : Ἀμήν . -τρίς-**

**Ὁ ἱερεύς:** -------- Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου. Ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον. Φυγέτωσαν ἀπ' αὐτοῦ οἱ ἐπιβουλεύοντες τῷ πλάσματί σου· ὅτι τὸ ὄνομά σου, Κύριε, ἐπεκαλεσάμην, τὸ θαυμαστὸν καὶ ἔνδοξον καὶ φοβερὸν τοῖς ὑπεναντίοις.

Καὶ ἐμφυσᾷ τὸ ὕδωρ τρίς· καὶ σφραγίζει τῇ δεξιᾷ τρίτον καὶ ἐπεύχεται, λέγων·

— Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ τιμίου Σταυροῦ σου πᾶσαι αἱ ἐναντίαι δυνάμεις (τρίς). —

**Ὁ χορός : Ἀμήν . - τρίς-**

**Ἱερεύς** ,---------------- Ὑποχωρησάτωσαν ἡμῖν πάντα τὰ ἐναέρια καὶ ἀφανῆ εἴδωλα, καὶ μὴ ὑποκρυβήτω τῷ ὕδατι τούτῳ δαιμόνιον σκοτεινόν, μηδὲ συγκαταβήτω τῷ βαπτιζομένῳ (ἢ τῇ βαπτιζομένῃ), δεόμεθά σου, Κύριε, πνεῦμα πονηρόν, σκότωσιν λογισμῶν καὶ ταραχὴν διανοίας ἐπάγον. Ἀλλὰ σύ, Δέσποτα τῶν ἁπάντων, ἀνάδειξον τὸ ὕδωρ τοῦτο, ὕδωρ ἀπολυτρώσεως, ὕδωρ ἁγιασμοῦ, καθαρισμοῦ σαρκὸς καὶ πνεύματος, ἄνεσιν δεσμῶν, ἄφεσιν παραπτωμάτων, φωτισμὸν ψυχῆς, λουτρὸν παλιγγενεσίας, ἀνακαινισμὸν πνεύματος, υἱοθεσίας χάρισμα, ἔνδυμα ἀφθαρσίας, πηγὴν ζωῆς. Σὺ γὰρ εἶπας, Κύριε· Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. Σὺ ἐχαρίσω ἡμῖν τὴν ἄνωθεν ἀναγέννησιν, δι' ὕδατος καὶ Πνεύματος. Ἐπιφάνηθι, Κύριε, τούτῳ· καὶ δὸς μεταποιηθῆναι τὸν (ἢ τὴν) ἐν αὐτῷ βαπτιζόμενον (ἢ βαπτιζομένην),

εἰς τὸ ἀποθέσθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἐνδύσασθαι δὲ τὸν νέον, τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἵνα, γενόμενος (ἡ γενομένη) σύμφυτος τῷ ὁμοιώματι τοῦ θανάτου σου διὰ τοῦ Βαπτίσματος, κοινωνὸς καὶ τῆς ἀναστάσεώς σου γένηται· καὶ φυλάξας (ἡ φυλάξασα) τὴν δωρεὰν τοῦ Ἁγίου σου Πνεύματος καὶ αὐξήσας (ἡ αὐξήσασα) τὴν παρακαταθήκην τῆς χάριτος, δέξηται τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ συγκαταριθμηθῇ τοῖς πρωτοτόκοις, τοῖς ἀπογεγραμμένοις ἐν οὐρανῷ, ἐν σοὶ τῷ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. Ὅτι σοὶ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοὶ Κύριε.

Καὶ ἐμφυσᾷ ὁ Ἱερεὺς εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου, βασταζόμενον ὑπὸ τοῦ Διακόνου καὶ σφραγίζει διὰ τῆς χειρὸς τρὶς τοῦτο, ἤτοι τὸ ἔλαιον.

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός. Κύριε, ἐλέησον.

Ὁ Ἱερεὺς λέγει τὴν παροῦσαν Εὐχήν.

ΕΥΧΗ ΤΟΥ ΕΛΑΙΟΥ

Δέσποτα, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε περιστερὰν ἀποστείλας, κάρφος ἐλαίας ἔχουσαν ἐπὶ τοῦ στόματος, καταλλαγῆς σύμβολον, σωτηρίας τε τῆς ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ τὸ τῆς χάριτος μυστήριον δι' ἐκείνων προτυπώσας· ὁ καὶ τῆς ἐλαίας τὸν καρπὸν εἰς πλήρωσιν τῶν ἁγίων σου Μυστηρίων χορηγήσας, ὁ δι' αὐτοῦ καὶ τοὺς ἐν νόμῳ Πνεύματος Ἁγίου πληρώσας καὶ τοὺς ἐν χάριτι τελειῶν· Αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ ἔλαιον, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, ὥστε γενέσθαι αὐτὸ χρίσμα ἀφθαρσίας, ὅπλον δικαιοσύνης, ἀνακαινισμὸς ψυχῆς καὶ σώματος, πάσης διαβολικῆς ἐνεργείας ἀποτρόπαιον, εἰς ἀπαλλαγὴν κακῶν, πᾶσι τοῖς χριομένοις αὐτὸ ἐν πίστει, ἢ καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ.

Εἰς δόξαν σήν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ δὲ Ἱερεύς, λαβὼν τὸ ἀγγεῖον τοῦ ἐλαίου καταχέει ἐξ αὐτοῦ ἐν τῇ κολυμβήθρᾳ, ποιῶν σταυροὺς γ' ἐν ἑκάστῳ σταυρῷ τὸ Ἀλληλούϊα (γ').

Ὁ Χορός :




Ὁ Διάκονος: Πρόσχωμεν

Ὁ Χορός :




Ὁ Διάκονος : Πρόσχωμεν

Ὁ Χορός : Τό τρίτον :




Εἶτα ἐκφωνεῖ.

Εὐλογητός, ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ προσφέρεται ὁ βαπτιζόμενος. Ὁ δὲ Ἱερεὺς λαμβάνει ἐκ τοῦ ἁγίου ἐλαίου διὰ τῶν τριῶν δακτύλων τῆς δεξιᾶς καὶ ποιεῖ Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων τοῦ βαπτιζομένου, λέγων.

**Χρίεται ὁ δοῦλος (ἢ ἡ δούλη) τοῦ Θεοῦ (ὁ ἢ ἡ δεῖνα) ἔλαιον ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.**

Καὶ σφραγίζων αὐτοῦ (ἢ αὐτῆς) τὸ στῆθος καὶ τὰ μετάφρενα, λέγει·

Εἰς μὲν τὸ στῆθος·

**Εἰς ἴασιν ψυχῆς καὶ σώματος.**

Εἰς δὲ τὰς ἀκοάς·

**Εἰς ἀκοὴν πίστεως.**

Εἰς τοὺς πόδας·

**Τοῦ πορεύεσθαι τὰ διαβήματά σου.**

Εἰς τὰς χεῖρας·

**Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με.**

Καὶ ὅταν χρισθῇ ἐκ τοῦ ἐλαίου ὅλον τὸ σῶμα ὑπὸ τοῦ Ἀναδόχου, βαπτίζει αὐτὸν ὁ Ἱερεύς, ὄρθιον αὐτὸν κατέχων καὶ βλέποντα κατὰ ἀνατολὰς καὶ λέγων.

**Βαπτίζεται ὁ δοῦλος (ἢ ἡ δούλη) τοῦ Θεοῦ (ὁ ἢ ἡ δεῖνα) εἰς τὸ ὄνομα τοῦ Πατρός, Ἀμήν· καὶ τοῦ Υἱοῦ, Ἀμήν· καὶ τοῦ Ἁγίου Πνεύματος, Ἀμήν** (ἑκάστῃ προσρήσει κατάγων αὐτὸν καὶ ἀνάγων).

Καὶ λούει αὐτοῦ ὁ Ἱερεύς, ὅλον τὸ σῶμα καλῶς.

Εἶτα λαμβάνει αὐτὸν ὁ Ἀνάδοχος ἐκ τῆς ἁγίας Κολυμβήθρας διὰ τῶν χειρῶν τοῦ Ἱερέως ὑπτίαις χερσί, σαβάνου (σινδονίου) λευκοῦ πρότερον ἐφαπλωθέντος ἐν ταῖς χερσίν).

Ὁ Χορὸς ψάλλει·

Ψαλμὸς λα΄ (31)

- **Μακάριοι ὧν ἀφέθησαν... Σελίς : 11 - 12**

# Ἦχος Α'


Μα κα α ρι ι ι οι ων
α α φε θη σαν αι α α α α
νο ο μι ι ι αι και αι
ων ε πε κα λυ υ φθη η σα α
αν αι α α μα αρ τι
ι ι αι



Έτερον : Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι...

## Ἦχος Α΄



Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι (ἐκ γ΄). Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. Τὴν ἀνομίαν μου ἐγνώρισα καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ ὀφθαλμούς μου. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Καὶ μετὰ τοῦτο λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

---

Ὁ Ἱερεύς, μυστικῶς·

Εὐχὴ τοῦ Μύρου

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, διὰ τῆς ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν καὶ χαρισάμενος ἡμῖν τοῖς ἀναξίοις τὴν μακαρίαν κάθαρσιν ἐν τῷ ἁγίῳ Βαπτίσματι, καὶ τὸν θεῖον ἁγιασμὸν ἐν τῷ ζωοποιῷ χρίσματι· ὁ καὶ νῦν εὐδοκήσας ἀναγεννῆσαι τὸν δοῦλόν σου τὸν (ἢ τὴν δούλην σου τὴν) νεοφώτιστον δι' ὕδατος καὶ Πνεύματος, καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ (ἢ αὐτῇ) δωρησάμενος· Αὐτὸς οὖν, Δέσποτα παμβασιλεῦ εὔσπλαγχνε, χάρισαι αὐτῷ καὶ τὴν σφραγῖδα τῆς δωρεᾶς τοῦ ἁγίου καὶ παντοδυνάμου, καὶ προσκυνητοῦ σου Πνεύματος, καὶ τὴν μετάληψιν τοῦ ἁγίου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ Χριστοῦ σου. Φύλαξον αὐτὸν (ἢ αὐτὴν) ἐν τῷ σῷ ἁγιασμῷ· βεβαίωσον ἐν τῇ Ὀρθοδόξῳ πίστει· ῥῦσαι ἀπὸ τοῦ πονηροῦ, καὶ πάντων τῶν ἐπιτηδευμάτων αὐτοῦ, καὶ τῷ σωτηρίῳ σου φόβῳ, ἐν ἁγνείᾳ καὶ δικαιοσύνῃ τὴν ψυχὴν αὐτοῦ (ἢ αὐτῆς) διατήρησον· ἵνα, ἐν παντὶ ἔργῳ καὶ λόγῳ εὐαρεστῶν ἢ (εὐαρεστοῦσα) σοι, υἱὸς (ἢ θυγάτηρ) καὶ κληρονόμος τῆς ἐπουρανίου σου γένηται βασιλείας.

Ἐκφώνως

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.




Καὶ μετὰ τὴν Εὐχήν, χρίει τὸν βαπτισθέντα ὁ ἱερεὺς τῷ ἁγίῳ Μύρῳ, ποιῶν τοῦ Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, τῶν ὀφθαλμῶν, τῶν μυκτήρων, τοῦ στόματος, τῶν δύο ὤτων, τοῦ στήθους, τῶν χειρῶν καὶ τῶν ποδῶν, λέγων·

Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Ἀμήν.

Εἶτα ἐνδύων αὐτὸν τὸν χιτῶνα λέγει.

Ἐνδύεται ὁ δοῦλος (ἢ ἡ δούλη) τοῦ Θεοῦ (ὁ ἢ ἡ δεῖνα) χιτῶνα δικαιοσύνης, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Καὶ ψάλλεται Τροπάριον εἰς ἦχον πλ. δ΄.

Χιτῶνά μοι παράσχου φωτεινόν, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

ἮΧΟΣ ΠΛ. Δ΄



Σημ. Μετά τό Τροπάριον : **Χιτῶνά** μοι παράσχου ...
μετά τό Βάπτισμα καί τό χρῖσμα τοῦ παιδίου, καί ἐν τῷ νίπτεσθαι τόν ἱερέα, εἴθισται ὅπως ψάλλονται αἱ Καταβασίαι τῆς ὑψώσεως τοῦ Σταυροῦ - Σταυρόν χαράξας Μωσῆς -, ἐν δέ κατά τήν Πασχαλινήν περίοδον αἱ Καταβασίαι :Αναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί.. Σελίς : 187

**Αἱ ΑΡΓΑΙ** Καταβασίαι τῶν ὡς ἄνω περιόδων, ἐγράφησαν εἰς τό βιβλίον **ΟΡΘΡΟΣ** **Β΄** μέρος.

## ΚΑΤΑΒΑΣΙΑΙ ΣΥΝΤΟΜΟΙ ΤΟῦ ΣΤΑΥΡΟΥ

### ἮΧΟΣ ΠΛ.Δ΄



Ἦχος πλ. δ΄. Ὠδὴ α΄.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.








'Ωδὴ γ'.

Ράβδος εἰς τύπον, τοῦ Μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα· τῇ στειρευούσῃ δὲ πρώην Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.






Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον, κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σου τὴν Θεότητα.






Ὠδὴ ε΄.

Ὦ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.






Ὠδὴ ς'.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον Πάθος, προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ καὶ τριημέρῳ Ἐγέρσει, τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ'.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνισε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Εὐλογεῖτε παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄.

Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ παγγενής, κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσι.

Αἱ " ΩΔΑΙ " ΣΤ΄ - Ζ΄ - Η- Θ΄ - ἐγράφησαν εἰς τό βιβλίον τοῦ " ΟΡΘΡΟΥ Β΄ μέρος. (Αργαί καί σύντομοι)
-ἡμετέρας ἐκδόσεως-



Ἡ Ἁγία Σοφία, ἡ κιβωτὸς τῆς Φυλῆς μας.

Ὁ Ἱερεὺς νιψάμενος, θυμιᾷ τὴν Κολυμβήθραν, περιερχόμενος αὐτὴν γύρωθεν μετὰ τοῦ Ἀναδόχου, κατ' ἐνώπιον ἱσταμένου καὶ βαστάζοντος τὸ νεοφώτιστον βρέφος, καὶ ψάλλων εἰς ἦχον α΄.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα (Τρίς)

## Ἦχος Α΄




Ἕτερον:






"Ετερον σύντομον :




Δόξα. Καὶ νῦν.






Δύναμις : Ὅσοι εἰς Χριστόν... Σελίς : 21

Δύναμις, ἀργόν : Ἐγράφη εἰς τό βιβλίον "Θεία Λειτουργία" (ἡμετέρας ἐκδόσεως

Ἀπόστολος : Σελίς : 24

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Προκείμενον. Ἦχος γ΄.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Διάκονος· Σοφία.

Ὁ Ἀναγνώστης

Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. στ΄ 3 - 11)

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς, τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ, εἰδότες ὅτι Χριστός, ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ὁ Ἱερεύς· Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Ὁ Χορός

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Σελίς: 72

Ὁ Διάκονος

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

(Κεφ. κη΄ 16-20)

Ὁ Διάκονος Πρόσχωμεν. –Ὁ χορός:

Ὁ Ἱερεύς Δόξα σοι Κύριε δόξα σοι

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτόν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδού, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι. Σελίς: 75



ΕΥΧΑΙ ΤΗΣ ΑΠΟΛΟΥΣΕΩΣ

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον·

Ὁ Ἱερεὺς τὴν Εὐχήν

Ὁ λύτρωσιν ἁμαρτιῶν, διὰ τοῦ ἁγίου Βαπτίσματος, τῷ δούλῳ (ἢ τῇ δούλῃ) σου δωρησάμενος, καὶ ζωὴν ἀναγεννήσεως αὐτῷ (ἢ αὐτῇ) χαρισάμενος· Αὐτός, Δέσποτα Κύριε, τὸν φωτισμὸν τοῦ προσώπου σου ἐν τῇ καρδίᾳ αὐτοῦ (ἢ αὐτῆς) ἐναυγάζειν διὰ παντὸς εὐδόκησον· τὸν θυρεὸν τῆς πίστεως αὐτοῦ (ἢ αὐτῆς) ἀνεπιβούλευτον ἐχθροῖς διατήρησον· τὸ τῆς ἀφθαρσίας ἔνδυμα, ὃ περιεβάλετο, ἀρρύπωτον ἐν αὐτῷ (ἢ αὐτῇ) καὶ ἀμόλυντον διαφύλαξον· ἄθραυστον ἐν αὐτῷ (ἢ αὐτῇ) τὴν πνευματικὴν σφραγῖδα τῇ χάριτί σου διατηρῶν, καὶ ἵλεως αὐτῷ (ἢ αὐτῇ) τε καὶ ἡμῖν γενόμενος, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεὺς τὴν Εὐχήν·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν τοῖς βαπτιζομένοις παρέχων· ὁ ἀναγεννήσας τὸν δοῦλον (ἢ τὴν δούλην) σου τὸν (ἢ τὴν) νεοφώτιστον δι' ὕδατος καὶ πνεύματος, καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ (ἢ αὐτῇ) δωρησάμενος, ἐπίθες αὐτῷ (ἢ αὐτῇ) τὴν χεῖρά σου τὴν κραταιάν, καὶ φύλαξον αὐτὸν (ἢ αὐτὴν) ἐν τῇ δυνάμει τῆς σῆς ἀγαθότητος· ἄσυλον τὸν ἀρραβῶνα διαφύλαξον· κὶ ἀξίωσον αὐτὸν (ἢ αὐτὴν) εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ εἰς τὴν σὴν εὐαρεστίαν. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ αὐτός· Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ Πνεύματί σου.

Ὁ Διάκονος

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς μυστικῶς τὴν Εὐχήν·

**Ὁ ἐνδυσάμενος (ἢ ἡ ἐνδυσαμένη) σέ, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, σοὶ ὑπέκλινε σὺν ἡμῖν τὴν ἑαυτοῦ (ἢ ἑαυτῆς) κεφαλήν· ὃν (ἢ ἣν) διαφύλαξον ἀήττητον ἀγωνιστὴν διαμεῖναι κατὰ τῶν μάτην ἔχθραν φερομένων κατ' αὐτοῦ (ἢ αὐτῆς) τε καὶ ἡμῶν· τῷ δὲ σῷ ἀφθάρτῳ στεφάνῳ μέχρι τέλους νικητὰς πάντας ἀνάδειξον.**

Ἐκφώνως

**Ὅτι σὸν ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεὺς λύει τὸ ζωνάριον τοῦ παιδίου καὶ τὸ σάβανον (μυρόπανον) καί, ἑνώσας τὰς ἄκρας αὐτῶν, βρέχει μετὰ ὕδατος καθαροῦ αὐτὰς καὶ ραίνει τὸ παιδίον, λέγων·

**Ἐδικαιώθης, ἐφωτίσθης.**

Καὶ λαβὼν σπόγγον καινὸν ἢ βάμβακα μεθ' ὕδατος, ἀποσπογγίζει τὸ πρόσωπον αὐτοῦ, σὺν τῇ κεφαλῇ, καὶ τὸ στῆθος καὶ τὰ λοιπά, λέγων·

**Ἐβαπτίσθης, ἐφωτίσθης, ἐμυρώθης, ἡγιάσθης, ἀπελούσθης εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.**





ΕΥΧΗ ΕΙΣ ΤΡΙΧΟΚΟΥΡΙΑΝ

Ὁ Διάκονος

**Τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ Χορός· **Κύριε, ἐλέησον.**

Ὁ Ἱερεὺς τὴν Εὐχήν.

**Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος εὐπρεποῦς κατασκευάσας αὐτόν, ὡς ἂν τὸ σῶμα ἐξυπηρετῆσαι τῇ λογικῇ ψυχῇ· κεφαλὴν μὲν ἐπὶ τῶν ὑψηλοτάτων θείς, καὶ ἐν αὐτῇ τὰς πλείστας τῶν αἰσθήσεων καθιδρύσας, μὴ παρεμποδιζούσας ἀλλήλαις· ταῖς δὲ θριξὶ τὴν κεφαλὴν ὀροφώσας, πρὸς τὸ μὴ βλάπτεσθαι ταῖς μεταβολαῖς τῶν ἀέρων, καὶ πάντα τὰ μέλη αὐτῷ χρησίμως ἐμφυτεύσας, ἵνα διὰ πάντων εὐχαριστῇ σοι τῷ ἀριστοτέχνῃ. Αὐτός, Δέσποτα, ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς σου Παύλου τοῦ Ἀποστόλου ἐντειλάμενος ἡμῖν πάντα εἰς δόξαν σὴν ποιεῖν, τὸν προσελθόντα** (ἢ τὴν προσελθοῦσαν) **δοῦλον** (ἢ δούλην) **σου** (τόνδε ἢ τήνδε) **ἀπαρχὴν ποιήσασθαι κείρασθαι τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ,** (ἢ αὐτῆς) **εὐλόγησον, ἅμα τῷ αὐτοῦ** (ἢ αὐτῆς) **ἀναδόχῳ· καὶ δὸς αὐτοῖς πάντα μελετᾶν ἐν τῷ νόμῳ σου καὶ τὰ εὐάρεστά σοι πράττειν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· **Ἀμήν.**

Ὁ Ἱερεύς· **Εἰρήνη πᾶσι.**

Ὁ Χορός· **Καὶ τῷ πνεύματί σου.**

Ὁ Διάκονος

**Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.**

Ὁ Χορός· **Σοί, Κύριε.**

Ὁ Διάκονος

**Τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ Χορός· **Κύριε ἐλέησον.**

Ὁ Ἱερεύς, κρατῶν τὴν δεξιὰν αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ βαπτισθέντος, ἐπεύχεται·

**Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας διὰ τῆς σῆς ἀγαθότητος ἁγιάσας τοὺς εἰς σὲ πιστεύοντας, εὐλόγησον τὸ παρὸν νήπιον, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἡ εὐλογία σου καταβήτω. Καὶ ὡς εὐλόγησας διὰ τοῦ προφήτου Σαμουήλ, Δαυῒδ τὸν βασιλέα, εὐλόγησον καὶ τὴν κεφαλὴν τοῦ δούλου** (ἢ τῆς δούλης) **σου** (τοῦδε ἢ τῆσδε) **διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἐπιφοιτῶν αὐτῷ** (ἢ αὐτῇ) **τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὅπως προκόπτων** (ἢ προκόπτουσα) **ἐν ἡλικίᾳ καὶ πολιᾷ γήρως, δόξαν σοι ἀναπέμψῃ, καὶ ἴδῃ τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ** (ἢ αὐτῆς).

Ἐκφώνως

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεὺς κείρει τὴν κόμην τῆς κεφαλῆς τοῦ παιδίου σταυροειδῶς, λέγων·

Κείρεται ὁ δοῦλος (ἢ ἡ δούλη) τοῦ Θεοῦ (δεῖνα) τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ (ἢ αὐτῆς) εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὁ Διάκονος

Ἔτι δεόμεθα ὑπὲρ ελεους, ζωῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας τῶν δούλων σου, τοῦ (ἢ τῆς) νεοφωτίστου (τοῦ ἢ τῆς δεῖνος) τοῦ ἀναδόχου (τοῦ ἢ τῆς δεῖνος) καὶ παντὸς τοῦ περιεστῶτος λαοῦ.

Ὁ Ἱερεὺς

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καθ' ἣν στιγμήν ὁ ἱερεύς παραλαμβάνει καί εὐλογεῖ τό παιδίον, ἢ εἰσέρχεται ἔνδοθεν τῆς Ὡραίας Πύλης ὁ χορός ψάλλει: Πάτερ παντοκράτωρ... Σελίς: 30



**Π**άτερ Παντοκράτορ... **Ἦ**χος **Α΄**



Εἶθ' οὕτως ἡ Ἀπόλυσις, τοῦ Βαπτίσματος ὡς ἀκολούθως·

Ὁ Ἱερεύς

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον· Κύριε ἐλέησον· Κύριε, ἐλέησον. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς



Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, (τοῦ ἁγίου οὗ τὸ ὄνομα ἔλαβεν ὁ ἢ ἡ νεοφώτιστος) καὶ πάντων τῶν Ἁγίων, ἐλέησαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Τόν Δεσπότην..Σελίς:87

Δι' εὐχῶν τῶν ἁγίων...

Ὁ Χορός· Ἀμήν.



Καὶ οὕτως ἀπέρχονται ὁ νεοφώτιστος σὺν τῷ ἀναδόχῳ αὐτοῦ ἐν τῷ τοῦ νεοφωτίστου οἴκῳ, πάντων λαμπαδηφορούντων καὶ ψαλλόντων καθ' ὁδὸν τό·

Ὅσοι εἰς Χριστὸν... ἢ Τὴν παγκόσμιον δόξαν. Σελ: 95

## ΔΙΑΤΑΞΙΣ

Πρόσεχε, ὦ ἱερεῦ, καὶ παράγγειλον εἰς τὴν μαῖαν σὺν τῇ μητρὶ τοῦ νεοφωτίστου, ἵνα μὴ κολυμβήσωσιν αὐτὸν ἢ τὸ πρόσωπον αὐτοῦ νίψωσιν ἕως ἡμερῶν ζ', τῇ δὲ ὀγδόῃ ἡμέρᾳ πλυνάτωσαν καὶ λουσάτωσαν αὐτόν, καὶ τὰ ἀπολούσματα τούτου ῥιψάτωσαν ἐν τόπῳ ὅπου οὐδεὶς βαδίζει ἐκεῖσε ἢ εἰς ποταμὸν ἢ εἰς τὸ χωνευτήριον τοῦ Ναοῦ.



Ὁ Ἀρχάγγελος Γαβριήλ. Ἱ. Μονή Χιλανδαρίου Ἁγίου Ὄρους, 14ος αἰώνας.





# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΓΑΜΟΥ





## ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΓΑΜΟΥ



**«Εἰς Οἶκον Κυρίου**

**Πορευσόμεθα...».**



# ΑΚΟΛΟΥΘΙΑ
## ΕΠΙ ΜΝΗΣΤΡΟΙΣ
### ΗΤΟΙ
## ΤΟΥ ΑΡΡΑΒΩΝΟΣ.




Σημ : Πρό τῆς τελετῆς τοῦ ἀρραβῶνος, εἴθισται, ὅπως ὁ Ιερεύς προπορευόμενος τῶν μελλονύμφων, εἰσάγει αὐτούς ἔνδον τοῦ Ναοῦ, τῶν Χορῶν ψαλλόντων τό κάτωθι " Αξιον ἐστι "

**Ἦχος Β΄** Δι

ΡΥΘΜΟΣ ΕΝΤΟΝΟΣ:




το ο ο κον την α ει μα κα
α ρι ι στο ο ον και αι πα να α
μω ω μη η η το ο ο ο ον και
αι μη η τε ε ε ρα α του Θε ε ου
ου η η μω ω ων
Χρόνος γοργός :
Την τι μι ω τε ραν των
Χε ρου βιμ και εν δο ξο τε ρανα
συγ κρι ι τως των Σε ραφιμ την α
δι α φθορως Θε ον λο γο ον τε κουσαν




Σημ: Κατά τήν Πασχαλινήν περίοδον,ψάλλεται ἀντί τοῦ " Ἄξιον ἐστιν." τό " Χριστός ἀνέστη " ἤ " Ὁ Ἄγγελος ἐβόα..." Φωτίζου, φωτίζου... " Σελίς: 39



Χριστός ἀνέστη... Ἦχος Πλ. Α΄




ΠΑ... ΚΕ...
θα α α α το ου πα τη η σα
ΠΑ...
α α αις και αι τοι οις εν τοι οις
ΔΙ...
μνη μα α σι ζω ω ην χα ρι
ΠΑ...
σα α με νοις
ΔΙ... ΚΕ...
και αι τοι οις ε εν τοις μνη
ΠΑ... ΔΙ
μα α σι ζω ω ην χα ρι σα α με
ΠΑ... Μ...
νο ο ο ο ο ο ο οις

**Ο Ἄγγελος ἐβόα... Ἦχος Α΄** Σύντομον




Δι...
η γαρ δο ξα Κυ υ ρι ι ι ου
Πα...
ε πι σε α νε τει λε χο ρευ ε νυν
Δι..
και α γα αλ λου Σι ων συ υ
Πα...
δε α γνη η η η τερ που Θε ο το ο
κε εν τη ε γερ σει του
Μ..3
το ο κου σου ου ου ου


ΑΞΙΟΝ ΕΣΤΙ
Ηχος Β΄ Δι
(Διφωνία)
Α ξι ου ε στιν ως α λη θως
μα κα ρι ζειν σε την Θε ο το
ο κον την α ει μα κα ρι
στου και πα να μω μη τον και μη
τε ρα του Θε ου η μων Την τι

ΑΞΙΟΝ ΕΣΤΙ


μι ω τε ραν των Χε ρου βειμ και
εν δο ξο τε ραν α συγ κρι ι ι
τως των Σε ρα φειμ ι την α δι α
φθο ρως Θε ον λο γο ον τε κου σαν
την ο ον τως Θε ο το κον σε με
γα λυ νο με ε εν



Ὁ γάμος τῆς Κανᾶ.

# «Τὸ Μυστήριον τοῦτο μέγα ἐστίν»

## ΑΚΟΛΟΥΘΙΑ
## ΕΠΙ ΜΝΗΣΤΡΟΙΣ

ἤτοι

## ΤΟΥ ΑΡΡΑΒΩΝΟΣ

---

Μετὰ τὴν θείαν Λειτουργίαν, τοῦ Ἱερέως ἑστῶτος ἐν τῷ Ἱερατείῳ, παρίστανται οἱ μέλλοντες ζεύγνυσθαι πρὸ τῶν ἁγίων Θυρῶν· ὁ μὲν ἀνὴρ ἐκ δεξιῶν, ἡ δὲ γυνὴ ἐξ εὐωνύμων. Ἀπόκεινται δὲ ἐν τῷ δεξιῷ μέρει τῆς ἁγίας Τραπέζης δακτύλιοι αὐτῶν δύω, χρυσοῦς καὶ ἀργυροῦς· ὁ μὲν ἀργυροῦς ἀπονεύων πρὸς τὰ δεξιά, ὁ δὲ χρυσοῦς πρὸς τὰ ἀριστερά, σύνεγγυς ἀλλήλων. Ὁ δὲ Ἱερεύς, ἐλθὼν ἐν τῷ νάρθηκι σφραγίζει τὰς κεφαλὰς τῶν νεονύμφων ἐκ γ΄ καὶ δίδωσιν αὐτοῖς κηροὺς ἁπτομένους· καὶ εἰσάξας αὐτοὺς ἔνδον τοῦ Ναοῦ, θυμιᾷ σταυροειδῶς.

Καὶ ἐρωτᾷ αὐτοὺς ὁ Ἱερεύς· πρὸς ὁμολογίαν, ἐὰν θέλῃ ἡ νύμφη τὸν νυμφίον· ὁμοίως καὶ ὁ νυμφίος τὴν νύμφην.

Εἶτα λέγει·

Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεύς, ἐκφώνως·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.



Ὁ Διάκονος

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Διάκονος

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε), καὶ τῆς δούλης τοῦ Θεοῦ (τῆσδε) τῶν νῦν μνηστευομένων ἀλλήλοις, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τέκνα εἰς διαδοχὴν γένους, καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτοῖς ἀγάπην τελείαν, εἰρηνικήν, καὶ βοήθειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φυλαχθῆναι καὶ εὐλογηθῆναι αὐτοὺς ἐν ὁμονοίᾳ καὶ βεβαίᾳ πίστει, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτοὺς ἐν ἀμέμπτῳ βιοτῇ καὶ πολιτείᾳ τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ἮΧΟΣ ΠΛ.Δ΄



## Τροπάρια ψαλλόμενα κατά τόν ἀσπασμῶν τῶν νεονύμφων

### Ἦχος πλ. Δ΄

### Μεγαλυνάρια κατά τό : Τήν τιμιωτέραν...









Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.




Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.




Ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα καὶ σύνδεσμον διαθέσεως τιθεὶς ἄρρηκτον· ὁ εὐλογήσας Ἰσαὰκ καὶ Ῥεβέκκαν, καὶ κληρονόμους αὐτοὺς τῆς σῆς ἐπαγγελίας ἀναδείξας· αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, ὁδηγῶν αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.




Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.



ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΓΑΜΟΥ

Ὁ Διάκονος

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.




Ὁ Ἱερεὺς ἐπεύχεται·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος Ἐκκλησίαν παρθένον ἁγνήν, εὐλόγησον τὰ μνῆστρα ταῦτα, καὶ ἕνωσον, καὶ διαφύλαξον τοὺς δούλους σου τούτους ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ.

Ἐκφώνως

Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.




Εἶτα, λαβὼν ὁ Ἱερεὺς τοὺς δακτυλίους τοὺς ἐν τῷ δισκελίῳ, ἐπιδίδωσι πρῶτον τῷ ἀνδρὶ τὸν χρυσοῦν καὶ λέγει αὐτῷ·

Ἀρραβωνίζεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) τὴν δούλην τοῦ Θεοῦ (τὴν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, Ἀμὴν (τρίς).

Καὶ ποιεῖ Σταυρὸν μετὰ τοῦ δακτυλίου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.



Εἶτα καὶ τῇ γυναικὶ λέγει, λαβὼν τὸν ἀργυροῦν·

Ἀρραβωνίζεται ἡ δούλη τοῦ Θεοῦ (ἡ δεῖνα), τὸν δοῦλον τοῦ Θεοῦ (τὸν δεῖνα) εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμὴν (τρίς).




Καὶ ὅταν εἴπῃ εἰς ἕκαστον τρίς, ποιεῖ Σταυρὸν μετὰ τοῦ δακτυλίου ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ ἐπιτίθησιν αὐτοὺς ἐν τοῖς δεξιοῖς αὐτῶν δακτύλοις.

Εἶτα ἀλλάσσει τοὺς δακτυλίους τῶν Νυμφίων ὁ Παράνυμφος.

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ **Χορός**· Κύριε, ἐλέησον.




Ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην·

εν τοις ου ρα νοις Α μουσωμεν τι
κραζει ο παν τοκρατωρ ου αι οι
ευ ζη τουντες θε α σασθαι την φο βε
ραν η με ρα αν Κυ ρι ου αυ τη


γαρ ε στι σκο τος πυ ρι γαρ δο κι
μα α σει τα συμ πα α αν Χ τα α
Δο ξα πα τρι και υι ω και α γι
ω πνευ μα τι Α ναρ χω και γεν
νη η σει τε και προ ο δω πα τε ρα
προ σκυ νω τον γεν νη σαν τα υι ον
δο ξα α ζω τον γεν νη θεν τα υ μνω
το συ νε κλα αμ πον πα τρι τε και υι
ω ω πνευ μα α α γι ι Χ ο ον


Και νυν και α ει και εις τους αι
ω νας των αι αι ω νων α μην
Πως εκ μα ζων σου γαλα βρυ ει εις
παρ θε νε πως τρεφεις τον τροφε α
της κτισεως ως ει δεν ο πη γα σας
υ δω ωρ εκ πετρας τας φλε βας των
υ δατων δι ψων τι τω λα ω ω
κα θως γε γρα α χ πται αι




Καί εὐθύς ὁ ΑΠΟΣΤΟΛΟΣ (Σελίς 161)

Σημ: Ἐάν τό Προκείμενον τοῦ Ἀποστόλου: Μακαρία ἡ ὁδός... εἰπωθεῖ εἰς ἔμμελον μέλος, θά ψαλλεῖ κατά τόν ἑξῆς τρόπον:

Ἦχος Γ΄ Γα




Καί συνεχίζει ὁ Ἀναγνώστης τόν Στίχον : Πρός σέ Κύριε κεκράξομαι ὁ θεός μου.Πρός Θεσσαλονικεῖς ἐπιστολῆς ..κ.λ.καί τόν ΑΠΟΣΤΟΛΟΝ.

# ΑΠΟΣΤΟΛΟΣ

Ὁ ἀναγνώστης.

Προκείμενον. Ἦχος γ'.

Μακαρία ἡ ὁδός, ᾗ πορεύει σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Θεσσαλονικεῖς Α' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. (δ' 13-17)

Ὁ διάκονος· Πρόσχωμεν. Σοφία. Πρόσχωμεν.

Ὁ ἀναγνώστης·

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ὁ ἱερεύς· Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Ὁ χορός· Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Σελ: 162




Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (ε΄, 24-30)

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

**Εὐαγγέλιον Σελίς : 163**



# ΕΥΑΓΓΕΛΙΟΝ

Ὁ ἱερεύς·

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

Ὁ α' χορός· Δόξα σοι, Κύριε, δόξα σοι




Ὁ Διάκονος : Ελέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεος σου.. κλ.

## Εὐχαί συγχωρητικαί (Παρά τοῦ Αρχιερέως )

Ὁ διάκονος· Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον (γ΄). Δέσποτα (ἢ πάτερ) ἅγιε, εὐλόγησον.

Εἶτα παρὰ τοῦ ἀρχιερέως ἢ τοῦ πρώτου τῇ τάξει ἱερέως ἡ νεκρώσιμος ἀπόλυσις οὕτως·

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων, ὡς ἀθάνατος βασιλεύς, καὶ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου ἁγίας αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ ἐνδόξων προπατόρων, Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τοῦ ἁγίου καὶ δικαίου φίλου αὐτοῦ Λαζάρου τοῦ τετραημέρου καὶ πάντων τῶν ἁγίων, τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου αὐτοῦ ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι, καὶ μετὰ δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν (ἐκ γ΄).

Ἐπὶ δὲ γυναικῶν

Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστος καὶ ἀείμνηστος ἀδελφὴ ἡμῶν.



Μετά τήν ἀπόλυσιν γίνεται ὁ τελευταῖος ἀσπασμός τοῦ λειψάνου, ψαλλομένων τῶν ἑξῆς Προσομοίων :

✝ Ἦχος β'.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

-Αργόν-Σελίς. 166
Σύντομον : " 168

Δεῦτε τελευταῖον ἀσπασμόν, δῶμεν ἀδελφοί τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ· οὗτος γὰρ ἐξέλιπε τῆς συγγενείας αὐτοῦ, καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ποῖος χωρισμὸς ὦ ἀδελφοί; ποῖος κοπετός; ποῖος θρῆνος ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν ἀσπάσασθε τὸν πρὸ μικροῦ μεθ' ἡμῶν· παραδίδοται τάφῳ γάρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται· νεκροῖς συνθάπτεται· πάντες συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ἄρτι ἡ τοῦ βίου πονηρά, λύεται πανήγυρις πᾶσα, τῆς ματαιότητος· πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος· ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐρράγη, ἄφωνον, ἀναίσθητον, νεκρόν, ἀκίνητον· ὅν περ παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Οἵα ἡ ζωὴ ἡμῶν ἐςὶν, ἄνθος καὶ ἀτμίς τε καὶ δρόσος, ἑωθινὴ ἀληθῶς· δεῦτε οὖν κατίδωμεν, ἐπὶ τοὺς τάφους τρανῶς· ποῦ τὸ κάλλος τοῦ σώματος; καὶ ποῦ ἡ νεότης; ποῦ εἰσὶ τὰ ὄμματα καὶ ἡ μορφὴ τῆς σαρκός; πάντα ἐξηράνθη ὡς χόρτος· πάντα ἠφανίσθησαν· δεῦτε, τῷ Χριςῷ προσπέσωμεν ἐν δάκρυσι.

Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μήτηρ τοῦ ἀδύτου Ἡλίου, Θεογεννήτρια· αἴτησαι πρεσβείαις σου τὸν ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταςάντα, ἔνθα ἀναπαύονται αἱ τῶν Δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν Δικαίων, εἰς μνημόσυνον πανάμωμε αἰώνιον.

Δόξα, Ἦχος πλ. β'.

Σελίς : 170

Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν προκείμενον, κλαύσατε πάντες ἐπ' ἐμοί, ἀδελφοὶ καὶ φίλοι, συγγενεῖς καὶ γνωστοί· τὴν γὰρ χθὲς ἡμέραν μεθ' ὑμῶν ἐλάλουν, καὶ ἄφνω ἐπῆλθέ μοι ἡ φοβερὰ ὥρα τοῦ θανάτου. Ἀλλὰ δεῦτε πάντες οἱ ποθοῦμενοί με, καὶ ἀσπάσασθέ με τὸν τελευταῖον ἀσπασμόν· οὐκ ἔτι γὰρ μεθ' ὑμῶν πορεύσομαι, ἢ συλλαλήσω τοῦ λοιποῦ· εἰς Κριτὴν γὰρ ἀπέρχομαι, ἔνθα προσωποληψία οὐκ ἔςι· δοῦλος γὰρ καὶ δεσπότης ὁμοῦ παρίςανται, βασιλεύς, καὶ ςρατιώτης, πλούσιος καὶ πένης, ἐν ἀξιώματι ἴσῳ· ἕκαστος γὰρ ἐκ τῶν ἰδίων ἔργων, ἢ δοξασθήσεται ἢ αἰσχυνθήσεται. Ἀλλ' αἰτῶ πάντας καὶ δυσωπῶ, ἀδιαλείπτως ὑπὲρ ἐμοῦ προσεύξασθαι Χριστῷ τῷ Θεῷ, ἵνα μὴ καταταγῶ διὰ τὰς ἁμαρτίας μου, εἰς τὸν τόπον τῆς βασάνου, ἀλλ'ἵνα με κατατάξῃ, ὅπου τὸ φῶς τῆς ζωῆς.

## Δεῦτε τελευταῖον ἀσπασμόν (Αργόν) Ἦχος Β΄ Δι




Σημ: Ἕτερον Νεκρώσιμον Προσόμοιον Σελίς : 206


Τ...... και προ ος τα α α φο ον
ε ε πει ει γε ε ε ται αι αι
ουυ ε ε τι ι φρο ον τι ι ι
ι ι ι δ.. ... τα της μα
α ται αι ο ο τη η το ο ο
ος και πο ο ο λυ μο ο ο
ο χθουου σα αρ κο ος που
ου ου νυ υ υ υν συ υγ γε νει
ει εις τε ε και αι φι ι ι ι ι ι
λοι α α αρ τι χω ω ρι ι




Τό Αὐτό εἰς Σύντομον μέλος Ἦχος ὁ Αὐτός




ζε λει πε της συγ γε νει ει ας αυ
τ... και προς τα φον ε πει γε ται
ουκ ε τι φρο τι ι ζων - ζου σα
τα της μα ται ο τη τος και πολυ μο
ο χθου σαρκος που ου νυ υν συγ
γε νεις τε και φι ι λοι αρ τι
χω ρι ζο με θα α η ην περ
α να παυ σαι αι Κυ υ ρι ος ευ
ζω με θα α α

## ΔΟΞΑ ... Νεκρώσιμον (Ορῶντες με ἄφωνον...)

Ηχος Πλ. Β΄ ΠΑ

Υπό τοῦ Εκδότου



Νεκρώσιμον : Ορῶντες με....



Νεκρώσιμον : Ορῶντες με...



**Νεκρώσιμον : Ορῶντες με...**



Νεκρώσιμον : Ορῶντες με....




# ΤΕΛΟΣ

Τῆς νεκρωσίμου
Ἀκολουθίας

ΕΠΙ ΤΟΥ ΤΑΦΟΥ

Καί Νῦν ... Θεοτοκίον ῏Ηχος ῾ο αὐτός

Πρεσβείαις τῆς τεκούσης σε, Χριστέ καί τῶν μαρτύρων σου, Αποστόλων ,Προφητῶν,Ἱεραρχῶν,Οσίων καί δικαίων,καί πάντων τῶν Αγίων, τ.. κοιμηθ... δοῦλ... σου ἀνάπαυσον .

῾Ο ἱερεύς : Δι᾽ εὐχῶν .....
῾Ο χορός : ᾽Αμήν .

Μετά τό πέρας τοῦ ἀσπασμοῦ, ἄραντες τό λείψανον,ἀπερχόμεθα είς τόν τάφον ψάλλοντες τό: Θρηνῶ καί ὀδύρομαι ...

Φθάσαντεςεἰς τόν τάφον, ποιεῖ ὁ Ιερεύς Εὐλογητόν.
- Τρισάγιον
- ῞Οτι σοῦ ἐστιν ... Καί τά τροπάρια :
- Μετά πνευμάτων... Σελίς : 1 - 2

᾽Αμέσως καταβιβάζεται ὁ νεκρός ἐν τῷ τάφῳ καί ὁ ἱερεύς ραντίζει αὐτόν σταυροειδῶς διά τοῦ ἐλαίου τῆς κανδήλαςλέγων:

Ραντιεῖς μεὐσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με,καί ὑπέρ χιόνα λευκανθήσομαι.

Εἶτα λαμβάνων χῶμα, ρίπτει τοῦτο είς αὐτόν,λέγων :

Τοῦ Κυρίου ἡ γῆ καί τό πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καί πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Γῆ εἶ , καί είς γῆν ἀπελεύσει.

ΑΠΟΛΥΣΙΣ




Η κορυφαία γιορτή της Παναγίας, από αυτές πού καθιέρωσε η χριστιανική θρησκεία, η μεγαλύτερη γιορτή της χριστιανοσύνης είναι η σημερινή. Κατέχει ξεχωριστή σημασία στον χριστιανικό κόσμο και είναι συνδυασμένη με την κοινή μας ζωή, κυρίως με τη ζωή των ορεινών και των θαλασσινών πληθυσμών του τόπου μας. Για τους χριστιανούς και ιδίως τους Έλληνες η Θεομήτωρ είναι ο άρρηκτος κρίκος πού ενώνει μέσα τους, τη θεία με την ανθρώπινη ζωή

## Β΄ Ἐν τῷ ναῷ.

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ εὐθὺς οἱ χοροὶ ἄρχονται ψάλλοντες ἐναλλὰξ ἐκ τοῦ «Ἀμώμου» (Ψαλμ. ριη΄).

### ΣΤΑΣΙΣ Α΄.

Ἦχος πλ. β΄.




Ἄμωμοι ἐν ὁδῷ. Ἀλληλούϊα. Εὐλογητὸς εἶ Κύριε, διδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

Μέτοχος ἐγὼ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

Ὁ α΄ χορός· Δόξα Πατρί...

Ὁ β΄ χορός Καὶ νῦν...

Ὁ α΄ χορός· Ἀλληλούϊα.

Ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦδε), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως, ὁ Κύριος Θεός, τάξῃ τὴν ψυχὴν αὐτοῦ ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



Ὁ χορός· ἀμήν.

Καὶ μετὰ τοῦτο ἄρχεται ὁ β′ χορός·

## ΣΤΑΣΙΣ Β′.

Ἦχος πλ. α′.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με, Κύριε.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησόν με, Κύριε.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με, Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με, Κύριε.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Ἐλέησόν με, Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διασκέδασαν τὸν νόμον σου. Ἐλέησόν με, Κύριε.

Δόξα... Καὶ νῦν... Ἐλέησόν με Κύριε, Κύριε.

---

Ἐὰν ὦσι δύο ἢ πλείονες ἱερεῖς.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β′ ἱερεὺς ἐκφώνως· Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

---

Ἄλλως μετὰ τὸ «Ἐλέησόν με, Κύριε» εὐθὺς ἄρχεται

Ὁ α′ χορός·



## ΣΤΑΣΙΣ Γ΄.

Ἦχος πλ. δ΄.

Καὶ ἐλέησόν με. Ἀλληλούϊα.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερός ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

---

Ἐὰν ὦσιν τρεῖς ἢ πλείονες ἱερεῖς.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ γ΄ ἱερεύς· Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

---

Ἄλλως μετὰ τὸ οὐκ ἐπελαθόμην ἄρχονται οἱ χοροὶ ψάλλοντες τὰ

## ΝΕΚΡΩΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἐὰν ὦσι πλείονες τῶν τριῶν ἱερεῖς, εἰς τὸ τέλος ἑκάστου τροπαρίου ὁ διάκονος ἐκφωνεῖ· Τοῦ Κυρίου δεηθῶμεν. Οἱ δὲ ἱερεῖς καθ' ἱεραρχικὴν σειρὰν ἕκαστος ἐκ τῶν μὴ ἐκφωνησάντων· Ὅτι σὺ εἶ ἡ ἀνάστασις... Ἤτοι αἱ ἐκφωνήσεις γίνονται κατὰ τὸν ἀριθμὸν τῶν ἱερέων.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν παραδείσου· εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

---

Ἐπὶ κληρικῶν εἴθισται ὅπως ψάλλωνται καὶ τὰ ἑξῆς δύο εὐλογητάρια.

Εὐλογητὸς εἶ, Κύριε...

Οἱ τὸν ἀμνὸν τοῦ Θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωήν, τὴν ἀγήρω ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, μάρτυρες, αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε...

Οἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ· οἱ τὸν σταυρόν,

ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν βραβεῖα, καὶ στέφη τὰ οὐράνια.

---

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μέν, ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι, τῆς ἀρρήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, ὁ Θεὸς τὸν δοῦλόν σου, καὶ κατάταξον αὐτὸν ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν ἁγίων Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τὸ κεκοιμημένον δοῦλόν σου ἀνάπαυσον, παρορῶν αὐτοῦ πάντα τὰ ἐγκλήματα.

Δόξα... Τριαδικόν.

Τὸ τριλαμπές, τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ τὸ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς, πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν... Θεοτοκίον.

Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι ὁ Θεὸς (ἐκ γ').

Μετὰ τὰ Εὐλογητάρια, εἴθισται ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἑλλάδος νὰ ψάλληται ὑπὸ τοῦ χοροῦ τὸ ἑξῆς κοντάκιον.

Ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστέ, τὴν ψυχὴν τοῦ δούλου σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Εἶτα ἄρχονται οἱ ἱερεῖς κατὰ σειρὰν ψάλλοντες εἱρμολογικῶς τὰ ἑξῆς κατ' ἦχον

## ΝΕΚΡΩΣΙΜΑ ΙΔΙΟΜΕΛΑ

('Ιωάννου Μοναχοῦ, τοῦ Δαμασκηνοῦ).

Ἦχος α'.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; Ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; Πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ροπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν ἐξελέξω ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Ἦχος β'.

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροί, ὡς ἐν συσσεισμῷ, πάντες ἀναστήσονται πρὸς τὴν σὴν ὑπάντησιν, Χριστὲ ὁ Θεός· τότε, Δέσποτα, ὃν μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν ἁγίων σου κατάταξον σκηναῖς, τὸ πνεῦμα τοῦ σοῦ δούλου, Χριστέ.

Ἦχος γ'.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται. Διὸ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

Ἦχος δ'.

Ὄντως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας ὁ φυσικώτατος δεσμός, θείῳ βουλήματι ἀποτέμνεται. Διό σε ἱκετεύομεν· Τὸν μεταστάντα ἀνάπαυσον, ἐν σκηναῖς τῶν δικαίων σου, ζωοδότα φιλάνθρωπε.

Ἦχος πλ. α'.

Ἐμνήσθην τοῦ προφήτου βοῶντος· Ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπον· ἆρα τίς ἐστι, βασιλεὺς ἢ στρατιώτης, ἢ πλούσιος ἢ πένης, ἢ δίκαιος ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ δικαίων τὸν δοῦλόν σου, ὡς φιλάνθρωπος.

Ἦχος πλ. β΄.

Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῷον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχήν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. Διό, Χριστέ, τὸν δοῦλόν σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Ἦχος βαρύς.

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν ζωοδότα, ὃν μετέστησας ἀδελφὸν ἡμῶν ἐκ τῶν προσκαίρων, κράζοντα δόξα σοι.

Ἦχος πλ. δ΄.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ᾽ εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος! Τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; Πῶς παρεδόθημεν τῇ φθορᾷ, καὶ συνεζεύχθημεν τῷ θανάτῳ; Ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Δόξα Πατρί... Ὁ αὐτός.

Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος· εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ παράδεισος ἠνέῳκτο· διὸ τὸν μεταστάντα ἀνάπαυσον ὡς φιλάνθρωπος.

Καὶ νῦν... Ὁ αὐτός.

Ἁγνὴ Παρθένε, τοῦ Λόγου Πύλη, τοῦ Θεοῦ ἡμῶν μήτηρ, ἱκέτευε, ἐλεηθῆναι τὴν ψυχὴν αὐτοῦ.

Ο ΑΠΟΣΤΟΛΟΣ Σελίς : 161

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ Σελίς : 163



## ΕΥΧΗ ΑΡΧΙΕΡΕΩΣ



Εἰ δὲ τῆς Νεκρωσίμου Ἀκολουθίας προΐσταται ἀρχιερεύς, λέγει καὶ μίαν τῶν κατωτέρω συγχωρητικῶν εὐχῶν.

## ΕΥΧΑΙ ΣΥΓΧΩΡΗΤΙΚΑΙ

εἰς πᾶσαν ἀρὰν καὶ ἀφορισμόν, εἰς τεθνεῶτα, ἀναγινωσκόμεναι παρὰ τοῦ ἀρχιερέως.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἀρχιερεύς·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ ἀρρήτῳ σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον ἐκ τοῦ χοός, καὶ τοῦτον ἀναμορφώσας εἰς εἶδος καὶ κάλλος, καὶ ἐξωραΐσας, ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς σῆς δόξης καὶ βασιλείας, διὰ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦτον παραγαγεῖν· τὴν ἐντολὴν δὲ παραβάντα τοῦ σοῦ προστάγματος, καὶ μεταλαβόντα τῆς εἰκόνος, καὶ μὴ φυλάξαντα· καὶ διὰ τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, φιλανθρώπως ἐκέλευσας τὴν κρᾶσιν, καὶ μῖξιν ταύτην, καὶ τὸν ἄρρηκτόν σου τοῦτον δεσμόν, ὡς Θεὸς τῶν πατέρων ἡμῶν, τῷ θείῳ βουλήματι ἀποτέμνεσθαι καὶ διαλύεσθαι· ὥστε τὴν μὲν ψυχὴν ἐκεῖσε χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο, μέχρι τῆς κοινῆς ἀναστάσεως, τὸ δὲ σῶμα εἰς τὰ ἐξ ὧν συνετέθη ἀναλύεσθαι· διὰ τοῦτο δεόμεθά σου τοῦ ἀνάρχου Πατρὸς καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ Παναγίου καὶ ὁμοουσίου καὶ ζωοποιοῦ σου Πνεύματος, ἵνα μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ· ἀλλὰ τὸ μὲν σῶμα διαλυθῆναι εἰς τὰ ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν καταταγῆναι ἐν τῷ χορῷ τῶν δικαίων. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος, καὶ ἡ φιλανθρωπία ἡ ἀνείκαστος· καὶ εἴτε ὑπὸ κατάραν πατρός, ἢ μητρός, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ὁ δοῦλός σου οὗτος, εἴτε τινὰ τῶν ἱερωμένων παρεπίκρανε, καὶ παρ' αὐτοῦ δεσμὸν ἄλυτον ἐδέξατο, εἴτε ὑπὸ ἀρχιερέως βαρυτάτῳ ἀφορισμῷ περιέπεσε, καὶ ἀμελείᾳ καὶ ῥαθυμίᾳ χρησάμενος, οὐκ ἔτυχε συγχωρήσεως, συγχώρησον αὐτῷ δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου· καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰς τὰ ἐξ ὧν συνετέθη διάλυσον, τὴν δὲ ψυχὴν αὐτοῦ ἐν σκηναῖς ἁγίων κατάταξον. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις τὴν ἐξουσίαν ταύτην δούς, ὥστε τῶν ἁμαρτημάτων διδόναι τὴν ἄφεσιν, καὶ εἰπών· Ὅσα ἂν δήσητε

καὶ λύσητε, ἵνα ὦσι δεδεμένα, και λελυμένα· δι' αὐτῶν δὲ καὶ εἰς ἡμᾶς, εἰ καὶ ἀναξίους, ὡσαύτως τὴν τηλικαύτην δωρεὰν φιλανθρώπως διαβιβάσας, λῦσον τὸν κοιμηθέντα δοῦλόν σου (τὸν δεῖνα) τοῦ ψυχικοῦ καὶ σωματικοῦ ἁμαρτήματος, καὶ ἔστω συγκεχωρημένος, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· πρεσβείαις τῆς παναχράντου καὶ ἀειπαρθένου σου Μητρός, καὶ πάντων σου τῶν ἁγίων· ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΚΕΚΟΙΜΗΜΕΝΟΝ ΙΕΡΕΑ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἀρχιερεύς·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνον τὸ ζῆν ἀθάνατον, καὶ ἡ δόξα ἀκατάληπτος, καὶ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, καὶ ἡ βασιλεία ἀδιάδοχος, καὶ οὐκ ἔστι προσωποληψία παρὰ σοί, Κύριε· πᾶσι γὰρ ἀνθρώποις τὸ κοινὸν τοῦ βίου ἔταξας χρέος, τοῦ ὅρου πληρωθέντος. Διό σε ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν· Τοῦ δοῦλόν σου (τὸν δεῖνα) ἱερέα, ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν γενόμενον, τὸν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κοιμηθέντα, ἐν κόλποις Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακὼβ ἀνάπαυσον· καὶ ὥσπερ ἐπὶ τῆς γῆς ἐν τῇ Ἐκκλησίᾳ σου λειτουργὸν αὐτὸν κατέστησας, οὕτω καὶ ἐν τῷ οὐρανίῳ σου θυσιαστηρίῳ ἀνάδειξον, Κύριε· ἐπὶ ἀνθρώπων πνευματικῇ ἀξίᾳ κατακοσμήσας, ἐπὶ ἀγγέλων τῇ σῇ δόξῃ ἀκατάκριτον πρόσδεξαι· αὐτὸς ἐπὶ τῆς γῆς τὴν ζωὴν αὐτοῦ ἐδόξασας, αὐτὸς δὲ καὶ τὴν ἔξοδον τοῦ βίου αὐτοῦ ἐν τῇ εἰσόδῳ τῶν ἁγίων σου ποίησον, καὶ τὸ πνεῦμα αὐτοῦ μετὰ πάντων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων συναρίθμησον.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΑΚΟΛΟΥΘΙΑ
# ΕΙΣ ΚΕΚΟΙΜΗΜΕΝΟΥΣ
# ΕΝ Τῌ ΔΙΑΚΑΙΝΗΣΙΜῼ ΕΒΔΟΜΑΔΙ

Δεῖ γινώσκειν, ὅτι ἐὰν γένηταί τινα ἀδελφὸν ἐκδημῆσαι πρὸς Κύριον ἐν τῇ ἁγίᾳ ἑβδομάδι τῆς Διακαινησίμου, οὐ ψάλλομεν ἐπ' αὐτοῦ τὴν συνειθισμένην ἀκολουθίαν τῶν κεκοιμημένων, ἀλλὰ πᾶσαν τὴν ἀναστάσιμον ἀκολουθίαν.

Ἡ αὐτὴ ἀκολουθία τελεῖται καὶ τῇ ἡμέρᾳ τῆς ἀποδόσεως τοῦ ἁγίου Πάσχα. Καθ' ὅλην δὲ τὴν μέχρι ταύτης χρονικὴν περίοδον ψάλλεται ἡ συνήθης Νεκρώσιμος Ἀκολουθία, ἀντικαθισταμένου τοῦ Ἅγιος ὁ Θεὸς διὰ τοῦ Χριστὸς ἀνέστη. Μέχρι τοῦ ναοῦ ψάλλομεν ἐπίσης τὸ Χριστὸς ἀνέστη. Ἀντὶ δὲ Δεῦτε τελευταῖον ἀσπασμόν... ψάλλομεν τὸ Ἀναστάσεως ἡμέρα... Τὸ αὐτὸ ψάλλομεν καὶ μέχρι τοῦ τάφου.



**Β´ Ἐν τῷ ναῷ.**

Ὁ διάκονος· Εὐλόγησον δέσποτα.

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ὁ χορός·

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος (δίς).

Ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως... Ὅπως ὁ Κύριος ὁ Θεός...

**ΝΕΚΡΩΣΙΜΟΣ** (Διακαινήσιμος ἑβδομάς)



Τοῦ Κυρίου δεηθῶμεν

Ὁ ἱερεύς· Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Εἶτα ψάλλονται αἱ καταβασίαι τοῦ Πάσχα ὡς ἑξῆς.

## Ὠδὴ Α΄. Ἦχος Α΄.

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί, Πάσχα Κυρίου Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν ἐπινίκιον ᾄδοντας.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. (γ΄).

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.



Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς· Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

'Ωδὴ γ'. Ἦχος ὁ αὐτός.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Σελίς: 186 Χριστὸς ἀνέστη... (τρίς). Ἀναστὰς ὁ Ἰησοῦς...

## Ωδή Γ΄ Ἦχος Α΄






Χριστός ἀνέστη,..
Σελίς: 186

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς· Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Ὠδὴ δ΄. Ὁ αὐτός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Χριστὸς ἀνέστη... (τρίς). Ἀναστὰς ὁ Ἰησοῦς... σελ: 186

## Ὠδή Α΄ Ἦχος Α΄




Χριστός ἀνέστη... Σελίς: 186
Ἀναστάς ὁ Ἰησοῦς.. " " "

Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ ἀντὶ μύρου, τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Χριστὸς ἀνέστη... (τρίς). Ἀναστὰς ὁ Ἰησοῦς... Σελ; 186



## Ὠδή Ε΄ Ἦχος Α΄




Χριστός ἀνέστη Σελίς : 186
Ἀναστάς ὁ Ιησοῦς "

Ὠδὴ ς΄. Ὁ αὐτός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου.

Χριστὸς ἀνέστη... (τρίς). Ἀναστὰς ὁ Ἰησοῦς...

## Ὠδή ΣΤ΄ Ἦχος Α΄




Χριστός ἀνέστη...Σελίς: 186
᾿Αναστάς ὁ Ιησοῦς.. "

Ὠδὴ ζ΄. Ὁ αὐτός.

Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Χριστὸς ἀνέστη... (τρίς). ᾿Αναστὰς ὁ ᾿Ιησοῦς.

## Ωδή Ζ Ήχος Α΄




Χριστός ἀνέστη... Σελίς: 186
'Αναστάς ὁ Ιησοῦς.. "

'Ωδὴ η΄. 'Ο αὐτός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Χριστὸς ἀνέστη... (τρίς). 'Αναστὰς ὁ 'Ιησοῦς...

Ὠδὴ Η΄ Ἦχος Α΄




Χριστός ἀνέστη... Σελίς : 186
Ἀναστάς ὁ Ιησοῦς.. " "

Ὠδὴ Θ΄. Ἦχος ὁ αὐτός.

Ὁ ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ, ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Χριστὸς ἀνέστη... (τρίς). Ἀναστὰς ὁ Ἰησοῦς...

## Ωδή Θ' Ήχος Α'


Ο αγγελος εβο ο α τη κε χα ρι
τω με ε νη α γνη παρθενε χαι αι ρε και
πα λιν ε ρω χαι αι ρε ο σος υι ος α
νε ε στη τρι η με ρος εκ τα φου Φω τι
ι ι ζου φω τι ι ζου η νε α
Ι ε ρου σα λημ η γαρ δο ξα Κυ υ
ρι ι ου ε πι σε α νε τει λε
χο ρευ ε νυν και α γα αλ λου Σι




Χριστός ἀνέστη .Σελίς: 186
'Αναστάς ὁ Ιησοῦς. "

Καὶ εὐθὺς τὸ αὐτόμελον ἐξαποστειλάριον...

Ἦχος β'.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, 'Αδὰμ ἐγείρας ἐκ φθορᾶς καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον (δίς).

Ἦχος Β'






Εἶτα ὁ ΑΠΟΣΤΟΛΟΣ καί τό ΕΥΑΓΓΕΛΙΟΝ τῆς ἡμέρας



Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως...

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων... Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Εἰ δὲ προΐσταται ἀρχιερεὺς λέγει καὶ μίαν τῶν συγχωρητικῶν εὐχῶν· Κύριε ὁ Θεὸς ἡμῶν... Δέσποτα πολυέλεε...



Ἡ ἀπόλυσις.

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, καὶ πάντων τῶν ἁγίων, τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου αὐτοῦ, ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι καὶ μετὰ δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Αἰωνία σου ἡ μνήμη...

Ἀντὶ δὲ τοῦ Δεῦτε τελευταῖον ἀσπασμόν, ψάλλομεν τὸ ἑξῆς·

Δόξα ... Καὶ νῦν... Ἦχος πλ. α΄. Σελίς, 104

Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει· καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί· καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ ἀναστάσει· Καὶ οὕτω βοήσωμεν· 198

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἶτα ὁ ἱερεύς·

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ἐκ τοῦ ναοῦ μέχρι τοῦ τάφου ψάλλεται τό, Ἀναστάσεως ἡμέρα...



**Ἦχος πλ. Α΄**




Αναστάσεως ημέρα




η η γυ υ ρει και αλ λη η
η λου ους πε ρι ι ι πτυ υ ξω ω
ω ω με ε θα ει ει πω
ω με ε εν α α δε ελ φοι οι οι
οι ηοι οι οι και τοι οις μι σου
ου ου ου σιν η η μας συγ χω
ρη η σω ω ω ω μεν πα α α αν
τα α τη η α α να α α στα
α α α σει και αι ου τω βο ο
ο η η η η η η η σω ω ω




ʽΟ Ἱερεύς: Χριστός ἀνέστη ...

**Γ΄ Ἐπὶ τοῦ τάφου.**

Ὁ ἱερεὺς ἀναγινώσκει τὸ «Νεκρώσιμον Τρισάγιον», ὡς ἐν τῷ οἴκῳ  Εἶτα Ραντιεῖς με ὑσσώπῳ... Τοῦ Κυρίου ἡ γῆ...

Ἀπολυσις.

# ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΝΗΠΙΑ

## Β΄ Ἐν τῷ ναῷ.

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν...

Καὶ ψάλλεται ὁ Ἄμωμος, (σελ. 5)

Εἶτα τὰ εὐλογητάρια. Σελίς: 127

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν παραδείσου· εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με Σωτήρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι, τῆς ἀρρήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, ὁ Θεός, τὸν δοῦλόν σου, καὶ κατάταξον αὐτὸν ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν ἁγίων Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τὸν κεκοιμημένον δοῦλόν σου ἀνάπαυσον, παρορῶν αὐτοῦ πάντα τὰ ἐγκλήματα.

Δόξα Πατρί...

Τὸ τριλαμπές, τῆς μιᾶς θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱός, καὶ τὸ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς, πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν... Θεοτοκίον.

Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν, δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι ὁ Θεὸς (γ').

Μετὰ ταῦτα ψάλλεται τὸ ἑπόμενον κοντάκιον·

Ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ, τὴν ψυχὴν τοῦ δούλου σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Τὰ κατ' ἦχον ἰδιόμελα παραλείπονται, καὶ εὐθύς·

Προκείμενον. Ἦχος γ'.

Μακαρία ἡ ὁδός, ᾗ πορεύῃ σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Ρωμαίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Κεφ. ϛ', 9-11)

Ἀδελφοί, Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφ' ἅπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς, λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

(ιη', 15-17, 26-27).

Τῷ καιρῷ ἐκείνῳ προσέφερον τῷ Ἰησοῦ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· καὶ ἰδόντες οἱ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ εἶπεν· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Εἶπον δὲ οἱ ἀκούσαντες· καὶ τίς δύναται σωθῆναι;

Ὁ δὲ εἶπε· τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ παρὰ τῷ Θεῷ ἐστι.

Ἐπὶ βρεφῶν μὲν δὲν γίνεται μνημόνευσις, μόνον·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ φυλάσσων τὰ νήπια... Ὅτι σοῦ μόνον...

Ἐπὶ μεγαλυτέρας δὲ ἡλικίας·

Ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως... Ὅπως Κύριος ὁ Θεὸς τάξῃ... (σελ. ).

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς·

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς ἀβραμιαίους κόλπους ἀποπληρῶν, καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν δικαίων τὰ πνεύματα, πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου σου (τοῦ δεῖνος) τὴν ψυχήν· αὐτὸς γὰρ εἶπας τῶν τοιούτων εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν.

Ὅτι σοῦ μόνου ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Εἶτα ἡ ἀπόλυσις (σελ. ).

Εἰς τὸν ἀσπασμὸν τῶν νηπίων ψάλλονται τὰ ἀκόλουθα προσόμοια ἀντὶ τοῦ Δεῦτε τελευταῖον...

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τίς μὴ θρηνήσῃ τέκνον μου, τὴν ἐκ τοῦ βίου ἡμῶν, πενθηράν σου μετάστασιν; Ὅτι βρέφος ἄωρον, ἐκ μητρικῶν ἀγκαλῶν νῦν, ὥσπερ στρουθίον τάχος ἐπέτασας, καὶ πρὸς τὸν κτίστην πάντων κατέφυγες; Ὢ τέκνον, τίς ποτε, μὴ θρηνήσῃ βλέπων σου τὸ ἐμφανὲς πρόσσωπον εὐμάραντον, τὸ πρὶν ὡς ῥόδον τερπνόν;

Ὢ τίς μὴ στενάξῃ τέκνον μου, καὶ μὴ βοήσῃ κλαυθμῷ, τὴν πολλήν σου εὐπρέπειαν, καὶ τὴν ὡραιότητα, τῆς ἁγνῆς πολιτείας σου; Ὥσπερ γὰρ ναῦς τις, ἴχνος οὐκ ἔχουσα, οὕτως ὑπέδυς ἐξ ὀφθαλμῶν μου ταχύ. Δεῦτε οἱ φίλοι μου, συγγενεῖς καὶ γείτονες ἅμα ἐμοί, τοῦτο ἀσπασώμεθα, τάφῳ ἐκπέμποντες.

Ὁ ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς· ἀμήν.

## Γ΄ Ἐπὶ τοῦ τάφου.

Ἀναγινώσκεται τὸ Νεκρώσιμον Τρισάγιον, ὡς ἐν τῷ οἴκῳ (σελ.   ).

✳

# ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΝΗΠΙΑ ΚΑΤΑ ΤΗΝ ΔΙΑΚΑΙΝΗΣΙΜΟΝ ΕΒΔΟΜΑΔΑ

Αὕτη εἶναι ὁμοία πρὸς τὴν ἐν σελ.   ἑξ. ἐκτεθεῖσαν, παραλειπομένης τῆς εὐχῆς· Ὁ Θεὸς τῶν πνευμάτων... καὶ ἀντὶ ταύτης λεγομένης τῆς εὐχῆς «Ὁ φυλάσσων τὰ νήπια, Κύριε....». Ἀπόστολος καὶ Εὐαγγέλιον, καὶ ἐν τῇ περιπτώσει ταύτῃ λέγονται τῶν Νηπίων.

Επιταφιος Θρήνος. (Εργο κεντημένο με το χέρι.)



* Νήπιον λέγεται ὁ παῖς, ὁ ἔχων ἡλικίαν μικροτέραν τοῦ 7ου ἔτους συμπεριλαμβανομένου.

## ΤΡΙΣΑΓΙΟΝ

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**ΤΕΛΟΣ**




*Η Μετάληψη των Αγ. Αποστόλων από τον Κύριο. (Ι. Μονή Μεταμορφώσεως Μετεώρων.)*

# ΠΡΟΣΟΜΟΙΑ ΝΕΚΡΩΣΙΜΑ ΑΡΓΑ

## Ἦχος Β΄

Κατά τό : Ὅτε εκ τοῦ ξύλου σε νεκρόν...




α να α πα α αυ σαι αι δε ε
ο ο με ε ε θα α α τ
νυ υν με ε τα α στα α α
α α ε ε ε ε εν α α
α να α πα αυ ο ον ται αι αι
αι τω ω ων δι ι ιαι αι αι αι
ω ων ψυ υ χαι αι θει ει ει
ω ω ω ων α α γα θω ων μη
ρο ο νο ο ο ο μον δει ει


ει ει ξον ε εν αυ λαι αις
των ων δι ι και αι αι ων εις μνη μο
συ νον πα να α αα μω με ε αι αι
Π....
αι ω ω νι ι ο ο ον





Α Φ Ι Ε Ρ Ο Υ Τ Α Ι

ΕΙΣ ΤΗΝ ΙΕΡΑΝ ΜΝΗΜΗΝ

ΤΩΝ ΑΟΙΔΙΜΩΝ ΓΟΝΕΩΝ ΜΟΥ ΚΑΙ ΤΟΥ ΑΔΕΛΦΟΥ ΜΟΥ

ΑΛΕΞΑΝΔΡΟΥ

Εἰς μνημόσυνον αἰώνιον...



Ο Παναγιώτατος Οικουμενικός Πατριάρχης κ.Βαρθολομαίος ενώ περιεργάζεται το Μουσικόν Βιβλίον του εκδότου κ.Πετρίδη.

Θεσσαλονίκη
Κυβερνείον
1999



Ὁ Σεβ.Μητροπολίτης Ν.Κρήνης-Καλαμαριᾶς κ.κ.ΠΡΟΚΟΠΙΟΣ μετά τοῦ Πρωτοσυγκέλου τῆς Μητροπόλεως κ.κ. ΝΙΚΟΔΗΜΟΣ ἔχοντες είς τό μέσον τόν Ἄρχ.Πρωτοψάλτην Λ.ΠΕΤΡΪΔΗΝ τόν ὁποῖον ἐτίμησεν ὁ ὡς ἄνω Μητροπολίτης τόν ΧΡΥΣΟΥΝ ΣΤΑΥΡΟΝ τῆς Μητροπόλεως τήν Ε΄ Κυριακήν τῶν Νηστειῶν διά τήν προσφοράν του στήν Βυζαντινήν Μουσικήν.

Απρίλιος 1997



Τήν 110 μελῆ Χορωδίαν τοῦ Σωματείου Ιεροψαλτῶν Θεσ/νίκης " Ιωάννης ὁ Δαμασκηνός " διευθύνει ὁ "Αρχων Πρωτοψάλτης Κων/πόλεως Λυκοῦργος Πετρίδης. Δημήτρια ΚΖ΄

# ΕΦΩΤΟΤΥΠΗΘΗΣΑΝ ΚΑΙ ΕΞΕΔΟΘΗΣΑΝ

| | |
|---|---|
| **1) ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ:** 550 σελίδες | Αναστάσιμα οκτωήχου, Ανοιξαντάρια, Θεοτόκε Παρθένε, Προκείμενα, Φως ιλαρόν - κ.α. |
| **2) ΟΡΘΡΟΣ Α΄ ΜΕΡΟΣ:** 700 σελίδες | Απολυτίκια, Καθίσματα, Αναβαθμοί, Κανόνες Ν΄ ψαλμός, Η Τιμιωτέρα, Εξαποστειλάρια, Πασαπνοάρια, Της μετανοίας, Δοξολογίαι συντ., Ανωθεν οι προφήται, Τον Δεσπότην αργόν, Εωθινά Δοξαστικά, Των Αγ. Πατέρων κ.α |
| **3) ΟΡΘΡΟΣ Β ΜΕΡΟΣ:** 700 σελίδες | Καταβασίαι (Σύντομαι-Αργαί), Δοξολογίαι αργαί, Δοξολογίαι Τελετών κ.α. |
| **4) ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ:** 840 σελίδες | Απαντα τα μαθήματα της Θ.Λειτουργίας, Τυπικά, Δύναμις, Χερουβικά, Λειτουργικά, Κοινωνικά, Του δείπνου...όλων των ήχων, Ασματ. Ακολουθ Μνημοσύνων, κ. α. |
| **5) ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ:** 680 σελίδες | Απαντα τα μαθήματα της Μεγ.Εβδομάδας μετά λεπτομερέστατης τυπικής διατάξεως |
| **6) ΔΟΞΑΣΤΑΡΙΟΝ Α΄:** 770 σελίδες | Απαντα τα Ιδιόμελα, Δοξαστικά, Απολυτίκια των εορτών και των εορταζομένων Αγίων από Ιανουάριον μέχρι και Αυγουστο κ. α. |
| **7) ΔΟΞΑΣΤΑΡΙΟΝ Β΄:** 770 σελίδες | Απαντα τα Ιδιόμελα, Δοξαστικά, Απολυτίκια των εορτών και των εορταζομένων Αγίων από Σεπτέμβριον μέχρι και Δεκέμβριον |
| **8) Μ.ΤΡΙΩΔΙΟΝ:** 700 σελίδες | Απαντα τα μαθήματα του Τριωδίου, Προηγιασμένη, Κατανυκτ. Εσπερινός, Ιδιόμελα αργά, Ακάθιστος Υμνος, Χαίρε Νύμφη, Το προσταχθέν, Τη υπερμάχω...Αργά-Σύντομα κ.α. |
| **9) ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ:** 510 σελίδες | Απαντα τα μαθήματα του Πεντηκοσταρίου, Πολυέλεοι, Η΄ Ψαλμός, Καλοφ. Ειρμοί, Μικρός και Μέγας Παρακλητικός Κανών... κ.α. |
| **10) ΙΕΡΑΙ ΤΕΛΕΤΑΙ:** 210 σελίδες | Βαπτίσματος, Νεκρώσιμος, Γάμων... |
| **11) ΘΕΩΡΙΑ ΒΥΖΑΝΤ. ΜΟΥΣΙΚΗΣ:** 330 σελίδες | Εισαγωγή στην Βυζαντινήν Μουσικήν, Ασκήσεις, Ιστορία, Τυπικόν, Προσόμοια, κ.α. |
| **12) ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ:** 600 σελίδες | Μικρού μεγέθους, Ανευ Τυπικών, Θ΄ ωδής και Αργών Χερουβικών. |
| 13) ΔΩΔΕΚΑΗΜΕΡΟΝ: | περιέχων άπαντα τα τροπάρια από της Κυριακής των προπατόρων μέχρι της εορτής του Αγ. Ιωάννου του Προδρόμου. |

## ΕΜΕΛΟΠΟΙΗΘΗΣΑΝ ΚΑΙ ΕΓΡΑΦΗΣΑΝ ΕΙΣ ΙΔΙΑΙΤΕΡΑ ΤΕΥΧΗ ΑΙ ΚΑΤΩΤΕΡΩ ΑΣΜΑΤΙΚΑΙ ΑΚΟΛΟΥΘΙΑΙ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΕΟΡΤΩΝ ΠΕΡΙΕΧΟΥΣΑΙ ΑΠΑΝΤΑ ΤΑ ΤΟΥ ΟΡΘΡΟΥ ΜΕΛΩΔΗΜΑΤΑ

| | |
|---|---|
| 1) Αγ.Βασιλείου | 1 Ιανουαρίου |
| 2) Αγ.Ιωάννου του Βαπτιστού | 7 Ιανουαρίου |
| 3) Αγ.Ευγενίου του Τραπεζουντίου | 21 Ιανουαρίου |
| 4) Αγ.Χαραλάμπους | 10 Φεβρουαρίου |
| 5) Αγ.Θεοδώρου - Βυζαντίου εν Μυτιλήνη | 17 Φεβρουαρίου |
| 6) Του Ευαγγελισμού | 25 Μαρτίου |
| 7) Αγ. Αθανασίου | 2 Μαίου |
| 8) Αγ.θεράποντος - Παρακλητικός Κανών | 14 Μαίου |
| 9) Αγ. Βησσαρίωνος (Σαμαρείτιδος) | 17 Ιουνίου |
| 10) Αγ.Δαυίδ | 26 Ιουνίου |
| 11) Αγ.Γερμανού | 12 Μαίου |
| 12) Αγ.Κυριακής | 7 Ιουλίου |
| 13) Αγ.Νικοδήμου | 14 Ιουλίου |
| 14) Αγ.Μαρίνης | 17 Ιουλίου |
| 15) Αγ.Μαρκέλλης | 22 Ιουλίου |
| 16) Της Μεταμορφώσεως | 6 Αυγούστου |
| 17) Της Παναγίας | 15 Αυγούστου |
| 18) Αγ.Αλεξάνδρου | 30 Αυγούστου |
| 19) Του Τ.Σταυρού | 14 Σεπτεμβρίου |
| 20) Αγ.Σκέπης της Θεοτόκου | 1 Οκτωβρίου |
| 21) Αγ.Αρτεμίου | 20 Οκτωβρίου |
| 22) Αγ.Ιακώβου - Αδελφοθέου (Λειτουργία) | 23 Οκτωβρίου |
| 23) Αγ.Σκέπης της Θεοτόκου | 28 Οκτωβρίου |
| 24) Αγ.Νεκταρίου | 9 Νοεμβρίου |
| 25) Αγ.Βαρβάρας - Ιωάννου Δαμασκηνού | 4 Δεκεμβρίου |
| 26) Αγ.Νικολάου | 6 Δεκεμβρίου |
| 27) Αγ.Φιλαρέτου | 1 Δεκεμβρίου |
| 28) Αγ. Αναργύρων Κοσμά - Δαμιανού | 1 Νοεμβρίου - 1 Ιουλίου |
| 29) Αγ.Αρσενίου του νέου | 18 Αυγούστου |

30) Αγ.Θεράποντος - Παρακλητικός Κανών - Μυτιλήνη
31) Αγ.Ειρήνης - Κρήτη
32) Αγ.Νικάνορος - Παρακλητικός Κανών
33) Αγ. εν Ηπείρω Αγίων
34) Θ. Λειτουργία Ιωάννου Χρισοστόμου
Εκφωνήσεις - Αντιφωνήσεις διακόνων
Ιερέων και άπαντα τα μελωδήματα των Χορών
35) Εσπερινός - Θ.Λειτουργία - Προηγιασμένων
Τη Τετάρτη Α΄ - Β΄ - Γ΄ - Δ΄ - Ε΄ - ΣΤ΄ Νηστειών
Του Τριωδίου (Μετά λεπτομερέστατης Τυπικής
Διατάξεως και των μελωδημάτων αυτών.)
36) Τελετή Εγκαινίων - Θεμελιώσεως αυτών - και
Χερουβικά του Αρχ. Πρωτοψ. Της Μ.Χ.Ε.
Θρ. Στανίτσα.
37)Λειτουργικά και Χερουβικά (απλά) όλων των ήχων
38) Παρακλητικός Κανών (μέγας - μικρός) της Θεοτόκου
39) Τρισάγιον - Δύναμις διαφόρων ήχων
40) Ακάθιστος ύμνος - Ανοίξω το στόμα μου.....Το Προσταχθέν...
Χαίρε Νύμφη...Αλληλούια (40) - Τη υπερμάχω...Σύντομα - Αργά - Την ωραιότητα Σύντομον - Αργόν Τυπική διάταξις

Τα ανωτέρω τεύχη περιλαμβάνουν: Ανοιξαντάρια - μακάριος ανήρ - κύριε ελέησον - τροπάρια αρτοκλασίας - προσόμοια - ιδιόμελα - δοξαστικά - απολυτίκια - καθίσματα - κανών καταβασίαι - εξαποστειλάρια - πασαπνοάρια....κ.λ.